ΙΑΡΔΑΝΟΥ ΚΑΡΟΛΙΔΟΥ
ΣΥΜΒΟΥΛΟΥ ΤΗΣ ΕΠΙΚΡΑΤΕΙΑΣ

# ΝΑΛΟΣ
ΚΑΙ
# ΔΑΜΑΙΑΝΤΙΑ

ΕΠΥΛΛΙΟΝ

ΕΝ ΣΤΙΧΟΙΣ ΠΕΝΤΕΚΑΙΔΕΚΑΣΥΛΛΑΒΟΙΣ

ΝΥΝ ΠΡΩΤΟΝ ΕΚΔΙΔΟΜΕΝΟΝ

معارف نظارت جلیله‌سنك ٢٠٦ نومرولو و ١٨ حزیران ٣١٢ تاریخلی
رخصتنامه‌سیله طبع اولنمشدر

SISMANOGLIO MEGARO

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΑΔΕΛΦΩΝ ΓΕΡΑΡΔΩΝ

1901




Τῷ ἐμμελεστάτῳ καὶ φιλομούσῳ κυρίῳ
ὁ συγγραφεύς

**ΙΑΡΔΑΝΟΥ ΚΑΡΟΛΙΔΟΥ**

ΣΥΜΒΟΥΛΟΥ ΤΗΣ ΕΠΙΚΡΑΤΕΙΑΣ

# ΝΑΛΟΣ

ΚΑΙ

# ΔΑΜΑΙΑΝΤΙΑ

## ΕΠΥΛΛΙΟΝ

ΕΝ ΣΤΙΧΟΙΣ ΠΕΝΤΕΚΑΙΔΕΚΑΣΥΛΛΑΒΟΙΣ

ΝΥΝ ΠΡΩΤΟΝ ΕΚΔΙΔΟΜΕΝΟΝ

معارف نظارت جليله سنك ٢٠٦ نومرولى و ١٨ حزيران ٣١٧ تاريخلى
رخصتنامه سيله طبع اولنمشدر

ΒΙΒΛΙΟΘΗΚΗ ΜΕΓΑΛΟΥ ΟΙΚΟΝΟΜΟΥ ΜΗΛΕΤΙΟΥ ΣΑΚΚΟΥΛΙΔΟΥ 1942
26 ΜΑΡ. 1998

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΑΔΕΛΦΩΝ ΓΕΡΑΡΔΩΝ

1901



*Hoc ego, Summe, Tibi dare munere, si modo, Cæsar,*
*dignarere hilari lumine, parvulum opus*
*jampridem optabam. Tuo enim mihi divite in agro*
*limpidos imprimis Castalidum latices*
*contigit haurire ac Musarum Sindhugenarum*
*carpere nonnullum dulce sodalitium.*
*Insuper est ipsique Tibi stirpique celebri*
*mos sacer almarum Pieridum pueros*
*tutarique favore fovereque mente benigna;*
*quo decus immortale ivit in astra domus!*
*Semper erat Marti semperque illustris amica*
*Mnamosynæ proli Zolleridûm suboles!*
*Ergo animo admittas donum exiguum mihi miti*
*voltuque ad famulum respicias placido.*

SISMANOGLIO MEGARO

ΤΩι ΜΕΓΑΛΕΙΟΤΑΤΩι ΑΥΤΟΚΡΑΤΟΡΙ ΚΑΙ ΒΑΣΙΛΕΙ

# ΓΟΥΛΛΙΕΛΜΩι τωι Β΄

Σοὶ τόδε τυτθόν, ἄναξ, ἔργον, κύδιστε, μέγιστε,
ἐν φρεσὶ τολμήσας θυμὸς ἄνωγε φίλος
δῶρόν μ' ἀζόμενόν περ ὀπαζέμεν· ἀγλαὸν ὅττι
Σοῖσιν ἐν ἀγροῖσιν νᾶμ' Ἑλικωνιάδων
πινέμεν οἷος ἐγὼν γενόμην ἰδὲ Σινδογενέσσιν
ἠβαιὸν Μούσης ἡδυθρόοις συνιέμεν.
Πρὸς δέ Σοι ὑψιμέδων γενεῇ τ' ἐρικυδεῖ δῶκεν
ἱμερτῶν ἑτάροις αἰὲν Ὀλυμπιάδων
ἔμμεν ἀοσσητῆρσιν, Ἐνυαλίοιο δ' ἀγῶσιν
αἰὲν ἀριστεύειν ἔξοχον ἡγεμόνων.
Τῷ πρόφρων τόδε δέξαι, ἀνάκτων κύδιμε, δῶρον
καὶ φάεσιν θείης μ' ὄλβιον εὐμενέσιν!

ΣΕΒΑΣΜΟΥ ΒΑΘΥΤΑΤΟΥ ΤΕΚΜΗΡΙΟΝ

Ι. ΚΑΡΟΛΙΔΗΣ

Ἵμερος ἐκ θεόφιν Λαμιάντιδος εἷλεν ἄμακτα
τερψίνοος κραδίην ἠϋκόμοιο Πάλον,
ἔξοχον ἥ τ' ἐκέκαστο φίλης χαρίεσσ' ἐν ἑταίρης
πάσῃσιν θαλεροῖς ὡς Πάλος ἠιθέοις,
ἀγγελίῃ χηνῶν ἐρατὸν πάρος εἶδος ἰδέσθαι,
κείνην δ' ἱμερόεν θέλξε Πάλοιο μένος.
Ἐκ θυμοῦ δ' ἐφίληθεν ἐν ἐσθλοῖς ἔν τ' ἄρα λυγροῖς
οὐδέ σφ' οὐλομένη σεῖσ' ἀρετὴν πενίη·
αὐτὰρ ἐπεὶ πάθον ἄλγε' ἅδην ἀνὰ δάσκιον ὕλην
δηναιόν τ' ἄμφω πλάγχθεν ἀεικελίω,
αὖτις ἔπειτα θεός σφιν ἐπήρατον ὤπασεν ὄλβον
καί σφιν ἀρίζηλον τῖσε δικαιοσύνην.
Ὣς ἀρετὴν μερόπεσσι θεὸς λίπεν αἰὲν ἀγήρως
πολλάκι δηθύνων οὔποτ' ἄτερ γέραος!

# ΕΙΣΑΓΩΓΗ

*Τὸ ἐπύλλιον, ὅπερ ὅλον νῦν εἰς τὴν ἡμετέραν μετενηνοχότες φωνὴν ἐκδίδομεν*[1], *ἐπεισόδιόν ἐστι καὶ δὴ τὸ μέγιστον ἅμα καὶ κάλλιστον, ὡς μαρτυρεῖ που Βόππιος ὁ πάνυ*[2], *τοῦ παρὰ τοῖς Ἰνδοῖς Ἀρίοις ἔπους Μαχαφαράτου*[3], *μεγάλου τ. ἔ. Φαράτου, περὶ οὗ τιν' ἐροῦμεν ὀλίγα, βραχέα περί τε ποιήσεως καὶ περὶ ἔπους ἰδίᾳ προθεωρήσαντες.*

*Ἐστι δὴ ποίησις αἰτία πᾶσα καθόλου καὶ ἐργασία πᾶσα τεχνικὴ κατὰ Πλάτωνα*[4], *δι' ἧς τι μήπω πρότερον ὂν εἰς τὸ εἶναι μεθίσταται*[5]. *Ἐστι μὴν ἐνθάδε τὸ εἶναι τῷ φιλοσόφῳ τὸ εἶδος, ὅ τινι μορίῳ τῆς ὕλης ἐναποτυπῶν ὁ τεχνίτης γενέσθαι ποιεῖ τι μὴ πρότερον ὑπάρχον (αὐλόν, εἰκόνα, κύλικα)· τὸ γὰρ ἁπλῶς ἐξ οὐκ ὄντος εἰς τὸ εἶναί τι μεθιστάναι τοῦ*

---

1. *μέρος αὐτοῦ μικρὸν ἐκδέδοται πρότερον ἐν τῷ τοῦ Φιλ. Συλλ. Παρ. Τ. ΙΗ ἐν 1883—4.*

2. *Φρ. Βοππ. Nal Praef. P. III.*

3. *γραπτέον ὀρθότερον οὕτω τοὔνομα διὰ τὴν τοῦ φ τῷ bh τῆς Ἰνδικῆς ταὐτότητα καθάπερ ἐν τῇ λέξει φυτὸν (φυ — τον) Ἰνδ. bhûtam (bhû — tam = ζῶον) ἐκ τῆς ρ. φυ = bhu, καὶ ἐν τῷ ῥήματι φέρω = bharami.*

4. *Συμπος. 205 C.*

5. *Αὐτ. Β. ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν ἰόντι ὁτῳοῦν αἰτία πᾶσά ἐστι ποίησις.*

SISMANOGLIO

*θείου νομίζομεν εἶναι μόνον. Ταὐτὸν οὖν ἡ ποίησις οὕτω θεωρουμένη τῇ τέχνῃ μόριον ἔχουσα τὴν οὕτω καλουμένην ἰδίᾳ[1]. Οὖσα δέ τι σύμφυτον ἡ τέχνη τῷ ἀνθρώπῳ διὰ τὸ χειρός τε τυχεῖν ἐπιτηδείου καὶ τοῦ παρὰ τῆς φύσεως[2] ἔσχε γένεσιν οἵαν ἡ κοινωνία κατ' Ἀριστοτέλη[3]. Τοῦ γὰρ ζῆν ἕνεκα τὸ ἐξ ἀρχῆς γενομένη τοῦ ζῆν εὖ χάριν οὖσα διατελεῖ καὶ τούτου στοχαζομένη[4]. Γενέσθαι δὲ πᾶσα τέχνη δοκεῖ τῇ ἐπινοίᾳ τὸ πρῶτον εὑρετικοῦ τινος, ὑπεροχωτέρου τῶν ἡλίκων, οὗ μιμηταί τινες, ὡς εἰκός, ἐγένοντο, κἀκείνων ἕτεροι, συνεχῶς ἀεὶ παρὰ τῶν εἰδότων οἱ μὴ διδασκόμενοι. Εὕρεσις ἄρα καὶ μίμησις ἡ τῆς τέχνης ἀρχή· ῥοπὴν δὲ μεγίστην ἐσχηκέναι δοκεῖ πρός τε γένε-*

*1. Πλ. ἔνθ. ἀν.: ἀπὸ πάσης τῆς ποιήσεως ἓν μόριον ἀφορισθὲν τὸ περὶ τὴν μουσικήν τε καὶ τὰ μέτρα τῷ τοῦ ὅλου ὀνόματι προσαγορεύεται· ποίησις γὰρ τοῦτο μόνον καλεῖται καὶ οἱ ἔχοντες τοῦτο τὸ μόριον τῆς ποιήσεως ποιηταί.*

*2. Ἀριστ. Περὶ ζώων μορίων IV, 10: Ἀναξαγόρας φησὶ διὰ τὸ χεῖρας ἔχειν φρονιμώτατον εἶναι τῶν ζώων ἄνθρωπον· εὔλογον δὲ διὰ τὸ φρονιμώτατον εἶναι χεῖρας λαμβάνειν· αἱ μὲν γὰρ χεῖρες ὄργανόν εἰσιν, ἡ δὲ φύσις ἀεὶ διανέμει, καθάπερ ἄνθρωπος φρόνιμος, ἕκαστον τῷ δυναμένῳ χρῆσθαι· προσήκει γὰρ τῷ ὄντι αὐλητῇ δοῦναι μᾶλλον αὐλοὺς ἢ τῷ αὐλοὺς ἔχοντι προσθεῖναι αὐλητικήν· τῷ γὰρ μείζονι καὶ κυριωτέρῳ προσέθηκε τοὔλαττον, ἀλλ' οὐ τῷ ἐλάττονι τὸ τιμιώτερον καὶ μεῖζον. Εἰ οὖν οὕτως βέλτιον, ἡ δὲ φύσις ἐκ τῶν ἐνδεχομένων ποιεῖ τὸ βέλτιστον, οὐ διὰ τὰς χεῖράς ἐστιν ὁ ἄνθρωπος φρονιμώτατος, ἀλλὰ διὰ τὸ φρονιμώτατον εἶναι τῶν ζώων ἔχει χεῖρας· ὁ γὰρ φρονιμώτατος πλείστοις ἂν ὀργάνοις ἐχρήσατο καλῶς, ἡ δὲ χεὶρ ἔοικεν εἶναι οὐχ ἓν ὄργανον, ἀλλὰ πολλά· ἔστι γὰρ ὡσπερεὶ ὄργανον πρὸ ὀργάνων· τῷ οὖν πλείστας δυναμένῳ δέξασθαι τέχνας τὸ ἐπὶ πλεῖστον τῶν ὀργάνων χρήσιμον, τὴν χεῖρα, ἀποδέδωκεν ἡ φύσις.*

*3. Πολ. I, 2, ἡ πόλις (=πολιτικὴ κοινωνία) . . . . γινομένη μὲν τοῦ ζῆν ἕνεκα, οὖσα δὲ τοῦ εὖ ζῆν.*

*4. Πολ. 1. 2.*

SISMANOGLIO MEGARO



*σιν αὐτῆς καὶ τὴν ἀνὰ χρόνον ἐνιαχοῦ τελείωσιν ἥ τε διδάσκουσα πάντα χρειώ[1] καὶ ἡ τοῦ τόπου φύσις, ἔτι δ' ἤθη καὶ πλοῦτοι καὶ ἡ περὶ τοῦ θείου δόξα καὶ τὸ δεκτικὸν οὐχ ἥκιστα τοῦ γένους.*

*Γενομένη δ' οὕτως ἡ τέχνη τὸ μὲν ἐμιμεῖτο τὰ φυσικά, τὸ δ' ἀνεπλήρου τὸ τῆς φύσεως ἐλλεῖπον[2]. Ἐπεὶ δ', ὡς ἐρρήθη, τοῦ ζῆν ἕνεκεν ἐγένετο πρῶτον, ἦν, ἐφ' ὅσον εἰς τοῦτ' ἀπέβλεπε, βάναυσος αὐτή τε καὶ ὁ τεχνίτης[3]. Ἀνὰ δὲ χρόνον εἰς τὸ ζῆν εὖ ἀρξαμένης ἐργάζεσθαι καὶ τοῦ καλοῦ μετὰ τοῦ εἶναί τε καὶ ἰδίᾳ στοχάζεσθαι, διεκρίθησαν αἱ τούτου δημιουργοὶ τῶν ἄλλων, ἐ λ ε υ θ έ ρ ι ο ι καὶ τ έ χ ν α ι κατ' ἐξοχὴν ὀνομασθεῖσαι, καὶ διατελοῦσιν εἰς τόδε μετὰ πολλὰς ἐπ' ἄμφω μεταβολὰς πολλαχοῦ τῆς οἰκουμένης καλλύνουσαί τε καὶ ῥυθμίζουσαι καὶ τέρπουσαι καὶ σὺν ταῖς ἐπιστήμαις παιδεύουσαί τε καὶ πρὸς τὸ τέλειον ἄγουσαι τὰς κοινωνίας. Ἐκινήθη δὲ τὰ πρῶτα καὶ κινεῖται παριστάναι τὸ καλὸν ὁ τεχνίτης ὑπ' ἐνθουσιασμοῦ καὶ καθόλου πάθους ὑψηλοῦ καὶ εὐγενοῦς εἰς αἰσθητὸν ἢ νοητόν, εὐειδές, χαρίεν, ἐξαίσιον· τοῦ γὰρ τοιούτου πάθους ἄνευ οὐκ ἔνι τι τούτων ἁπλῶς ἐπιτελεῖσθαι. Εἰ δέ τί που τὸ ἀνθρώπειον εἰργάσατό ποτε τοιοῦτον, ἔστι δῆλα γενόμενα πάντα καθ' οὓς ἐκεῖνο χρόνους ἐνθουσιασμὸς ἢ πάθος ἢ φιλοτιμία κατεῖχέ τις ἔξοχος.*

*1. «Χρειὼ πάντ' ἐδίδαξε· τί δ' οὐ χρειώ κεν ἀνεύροι»;*

*2. Ἀρ. Φυσ. Ἀκρ. 2, 8 ὅλως ἡ τέχνη τὰ μὲν ἐπιτελεῖ ἃ ἡ φύσις ἀδυνατεῖ ἀπεργάσασθαι, τὰ δὲ μιμεῖται.*

*3. Ἀρ. Πολ. 1, 5, 10· ἔστι δ' ἡ λέξις παρὰ τὸ **βαῦνος** καὶ τὸ αὔω, τ. ἔ. ὁ παρὰ τὴν κάμινον ἐργαζόμενος· ἰδ. καὶ Πλ. Συμπ. 203 Α.*

Τὸ δὴ τοιοῦτον αἰσθητὸν ἢ νοητὸν ὀφθὲν ἢ νοηθὲν ὑπὸ δεκτικοῦ τινος ἔρωτα καὶ πόθον ἐνίησιν αὐτῷ τοῦ ποιεῖν ἢ γεννᾶν (εἰ γυνὴ τὸ φανὲν) οἷον ἐκεῖνο, παριστάμενον ἤδη πως ἀμυδρῶς αὐτοῦ τῇ φαντασίᾳ. Κοινῇ μὲν οὖν ὁ πόθος εἶναι δοκεῖ τοῦ καλοῦ, τὸ δ' ἀληθὲς ἀθανασίας ἐστὶν ἐν τῷ καλῷ κατὰ Πλάτωνα[1]· ποιοῦν τι γὰρ οἷον ἀθάνατον ἀποβαίνει τὸ θνητὸν ὡς καὶ τίκτον, αὐτὸ μὲν εἶναι μὴ δυνάμενον ἓν ἀριθμῷ καὶ ταὐτὸν ἀεί, τῷ δὲ ἔργῳ πῃ καὶ τῷ τέκνῳ τούτου τυγχάνον· διὸ χαρίεν ὅ τις εἶπεν ἀγάμῳ φίλῳ παίδων αὐτὸς πατὴρ ὥς τι μετὰ χρόνον ἐσόμενον μακρὸν αὐτὸς μὲν ὄψοιτο, ὁ δὲ φίλος οὔ. Βούλεται μὲν οὖν οὕτω τὸν ἀεὶ χρόνον ὑπάρχειν, ἐφίεται δ' εἶναι καλὸν ὡς ἔνι καὶ τέλειον· διὸ καὶ πέφυκε γεννᾶν ὁ γεννῶν ἐν τῷ καλῷ κατὰ Πλάτωνα[2]· τὸ γὰρ αἰσχρὸν αὐτὸν συσπειρᾶσθαι ποιεῖ σκυθρωπὸν καὶ λυπούμενον καὶ μὴ γεννᾶν, ἀλλὰ φέρειν χαλεπῶς ἴσχον τὸ κύημα[3].

Πρὸς μὲν οὖν παιδογονίαν ἐστὶν ἡ φιλότης κοινὴ τῷ ἀνθρώπῳ πρὸς τὰ ζῶα δεινῶς ὁμοίως περὶ τοῦτο διατιθέμενα καὶ νοσοῦντα, ἀθανασίας δι' ἐρῶντα κἀκεῖνα μὴ συνειδότα[4], συμβαίνει μέντοι τῷ πλείστῳ τῶν ἀνθρώπων εἰς φιλότητα φέρεσθαι μὴ πάνυ τι πρὸς τὸ καλὸν ὑπὸ φορτικότητος ὁρῶντας, ἀλλά που πρὸς ὥραν ἢ χρόαν ἢ φωνὴν ἢ μέγεθος ἀντὶ τοῦ καλοῦ τούτων ἓν ἤ τιν' ὁμοῦ μεταλαμβάνοντας· κινεῖ

1. Συμπ. 207.
2. Συμποσ. 206 καὶ 209.
3. Αὐτ. 206 D.
4. Αὐτ. 207 A.



δ' αὐτοὺς ἐν τοῖς γάμοις καὶ τὸ πρὸς ὄνησιν ἢ δήποτε συμβαλλόμενον· ἔτι δὲ πρὸς τούτοις ἤθη καὶ νόμοι πολλὰ πολλάκις παρὰ τὸν ἔρωτα βιαζόμενοι[1]. Τὸ δὲ τοῦ ἀνθρωπείου θειότερον ἢ μουσικώτερον ὀλιγωρεῖ μὲν οὐ τοῦ καλοῦ καὶ γενναίου σώματος, ἀσπάζεται δὲ σὺν τούτῳ μᾶλλον ἐὰν ἐντύχῃ που ψυχῇ καλῇ τε καὶ εὐφυεῖ, ὥστε παρὸν μὲν ἀσπάζεται συναμφότερον, εἰ δὲ μὴ πάρεισιν ἄμφω, τὸ τῆς ψυχῆς ἀντ' ἐκείνου προαιρεῖται κάλλος[2]. Τοῦ δὲ καλοῦ τυχεῖν οὐδ' ἔστι πᾶσι διὰ τὸ σπάνιον ἐξ οὗ καὶ περιμάχητον, ἅτε φειδοῖ πως, ὡς ἔοικε, τοῦ θείου τῇ φύσει τὸ καλὸν ἐναπομάττοντος. Ἔτι δὲ δοκεῖ μὲν εἶναι τὸ καλὸν ἁπλοῦν ἢ πᾶσιν, ὁμοίως ὑπὸ πάντων ἐπαινούμενον ἢ θαυμαζόμενον, ἐστὶ δ', ὡς ἔοικεν, οὐχ ἁπλοῦν, ἀλλά τινι καὶ (Δημοκρίτου λέξει) νόμῳ, πάθει καὶ δόξῃ καὶ συνηθείᾳ συνημμένον· ὅθεν ὀρθῶς ὁ Πέρσης «ἄλλοις» εἶπεν «ἄλλα καλά»[3]. Περὶ μὲν οὖν τοῦ καλοῦ καὶ αὖθις ἡμῖν ὁ λόγος ἔσται παρακατιοῦσι.

Τῇ δὲ τέχνῃ, ᾗ μόνος ἐν τοῖς ἔχουσι ζωὴν διαπρέπει, ἐφικνεῖται τοῦ τέλους ὁ ἄνθρωπος εἴδει κοσμῶν εὐμεθόδως ὕλην ἤ τι ποιῶν ἐπιτήδειον, ὥστε τι γενέσθαι τῷ ὄντι καλὸν ἢ χαρίεν, ὅπερ ἀπαθανατίζει πως ἐν τῷ καλῷ τὸν ἐργασάμενον, ἐμφαῖνον αὐτοῦ τοῖς ἐπιγενομένοις τὴν ἀρετὴν ἢ τὸ ὑπέροχον, οἱονεί τι τῆς ἐκείνου ψυχῆς ἀποτύπωμα. Ταὐτὸ δ' ἄν τις εἴποι

1. Πρωταγ. 337 D· ἔστι δ' ὁ λόγος Ἱππίου τοῦ σοφοῦ· πρβλ. καὶ Πινδ. Ἀποσπ. 151.
2. Συμπ. 209.
3. Παρὰ Πλουτ. ἐν βίῳ Θεμιστοκλέους.

καὶ περὶ τῶν ὑπὲρ ἀρετῆς ἀθανάτου καὶ δόξης εὐκλεοῦς οὐσίαν τε πολλὴν ἀναλωσάντων καὶ πόνους καὶ κινδύνους οὐκ ὀλίγους ὑπομεινάντων, ὅτι κἀκείνων ἀθανασίας ἔρωτι ταῦτα πραξάντων [1], ἀθάνατον ἔσεσθαι μνήμην αὐτοῖς οἰομένων· διατελεῖ γὰρ ἀεί πως ὢν ὁ μνήμης τυχὼν ἀϊδίου, καὶ μηκέτι παρών· τὸ γὰρ εἶναι συνῆπταί πη τῇ γνώσει· τὸ δ' ἀγνοούμενον οὐδ' εἶναί πη δοκεῖ, καὶ καθάπερ ὑποτίθησι τὸ εἰδέναι τὸ εἶναι, οὕτω πη καὶ τοῦτ' ἐκεῖνο· διὸ καὶ τὸ θεῖον εὐδοκῆσαν, ὡς ἔοικεν, αὐτοῦ γνωσθῆναι τὸ μέγα τε καὶ δυνατὸν καὶ σοφόν τε καὶ τέλειον ἐποίησε τόδε τὸ πᾶν, οὗ τῇ νοήσει διατελεῖ τὸν ἄπειρον αἰῶνα καθορώμενον, ἀόρατον ὄν [2]. Ἐπεὶ δὲ πᾶν τὸ γενόμενον ὑπό τινος οἷον ἐστὶν ἀποβλάστημα καὶ θάλος ἐκείνου, πέφυκεν ἐκ τούτου φιλεῖν τε καὶ τιμᾶν ὥσπερ ὁ τεκὼν τὸ γεννηθέν, οὕτως ὁ ποιήσας τὸ ποιηθὲν ἢ τὸ δημιούργημα. Ὅθεν ὁ μὲν φιλόσοφος ἀγάμενον οἱονεὶ καὶ χαίροντα παρίστησι τῷ ποιήματι τὸν θεὸν ἐν τῷ Τιμαίῳ [3], ὁ δὲ προφήτης εὐφρανεῖσθαί φησι τὸν κύριον ἐπὶ τοῖς ἔργοις [4].

Τὸ μὲν οὖν θεῖον ἐν ἀρχῇ ποτε νόου φρενὶ τὰ πάντα

1. Συμπ. 208.

2. Ἐπιστ. πρ. Ῥωμ. 1, 20. Πραξ. 14, 17. Τούτοις ὁμοίως ἀποφαίνεται καὶ τις ἱερὰ παράδοσις (حديث قدسي) καθ' ἣν εἶπεν ὁ θεὸς τῷ προφήτῃ Δάβιδ (?) : θησαυρὸς ὑπάρχων ἀφανὴς ἐπεθύμησα γνωσθῆναι καὶ τοὺς ἀνθρώπους ἀπειργασάμην, ἵνα γινώσκωσί με.

(كنت كنزاً مخفياً فأحببت ان اعرف فخلقت الخلق ليعرفوني).

3. 37 C : ὡς δὲ κινηθὲν αὐτὸ καὶ ζῶν ἐνόησε τῶν ἀϊδίων θεῶν γεγονὸς ἄγαλμα ὁ γεννήσας πατὴρ ἠγάσθη τε καὶ εὐφρανθεὶς ἔτι δὴ μᾶλλον ὅμοιον πρὸς τὸ παράδειγμα ἐπενόησεν ἀπεργάσασθαι κτλ.

4. Ψαλμ. 104 ἰδ. καὶ Γεν.

SISMANOGLIO MEGARO



ποιῆσαν διατελεῖ διατηροῦν αὐτὰ τῇ βουλήσει καὶ δημιουργοῦν ἀεὶ τὸ καλὸν ἐν αἰσχροῖς μυρίοις. Ἔστι γὰρ αἰσχρὰ καὶ φαῦλα κατ' Ἀριστοτέλη [1] τῶν ἐν τῇ φύσει τὰ πλεῖστα διὰ τὸ πολλῇ τῇ φειδοῖ, καθάπερ εἴρηται, τῇ φύσει τὸ καλὸν ἐγκατασπαρῆναι. Τὸ δ' ἀνθρώπειον ἀεὶ μέν, ἐξ οὗ ποτε τέχνην ἀσκεῖ, διατελεῖ τοῦ καλοῦ στοχαζόμενον ἐν εἴδεσι πλείστοις, ὀλίγα μέν τοι γένη τῶν ἐπὶ γῆς ἀρχαῖά τε καὶ νεώτερα, τῶν Ἰταλῶν ἐν τούτοις ἀρχὴν βαλομένων, τὰ μὲν ἐξίκοντο τὸ πάλαι, τὰ δὲ διατελοῦσιν αὐτοῦ καθικνούμενα μέχρι τοῦδε, Γαλατῶν, ὡς ἔοικε, τὰ νῦν, ἡγουμένων.

Τί δ' ἐστὶ τὸ καλὸν ἐφιλοσόφησαν ἀρχαῖοί τε καὶ νεώτεροι πολλὰ περὶ τούτου, Πλάτωνος [2] ἠγησαμένου καὶ Πλωτίνου [3], ὧν ἑκατέρῳ τὸ εἶδος εἶναι δοκεῖ τοῦ καλοῦ γενέτειρα, δι' αὐτοῦ διαφαινόμενον. Οὐ γὰρ ἐν μόνῳ τῷ συμμέτρῳ τῶν μερῶν μετὰ τῆς εὐχροίας (φησὶν ὁ Πλωτῖνος) ἐστὶ τὸ καλόν· οὕτω γὰρ (φησιν) ἁπλοῦν οὐδὲν ἔσται καλὸν μὴ συμμετρίαν ἔχον μορίων· τὸ δὲ τῷ λόγῳ συμμέτρως ἐπιφαίνεσθαι τὸ εἶδος ἐν τῇ ὕλῃ, τοῦτο ποιεῖ τὸ καλόν· διὸ τὸ καλὸν ἀρέσκει διὰ τὸ διαλάμπον εἶδος ὑπὸ τοῦ νοῦ τοῦ συγγενοῦς εἰσορώμενον. Ὀρθῶς ἄρα καὶ καλῶς ὁρίζεται τὸ καλὸν Ἀριστοτέλης [4] «τὸ δι' αὐτὸ αἱρετόν»· ἀρέσκει γὰρ ἑαυτοῦ τ. ἔ. τοῦ εἴδους ἕνεκεν, ἀλλ' οὐ τοῦ χρησίμου. Εἰ δ' ἀμβλὺς ὁ νοῦς ἢ φύσει ἢ δι' ἀπαι-

1. Ῥητ. 2, 13.

2. Ἔνθεν ἐν Φαίδρῳ, Συμποσίῳ, καὶ Πολιτείᾳ, καὶ ἔνθεν ἐν Τιμαίῳ καὶ Φιλήβῳ.

3. Ενν. 1, 6.

4. Ῥητ. 1, 9.

*δευσίαν ἢ μὴ νήφων ὑπὸ πάθους, ἔρωτος ἢ μίσους ἢ φθόνου. χαίρει μὲν ἔστιν ὅτε τῷ μὴ καλῷ, δυσαρεστεῖ δὲ καὶ τῷ καλῷ· διὸ καλῶς ὁ ποιητὴς ὡς καλὰ πολλάκις ὁ ἔρως τὰ μὴ καλὰ ποιεῖ φαίνεσθαι*[1]· *δοκεῖ δὲ καλῶς εἰρῆσθαι καὶ τὸ παρ' Ἰταλοῖς :*

*«Non è bello quel che è bello, ma è bello quel che piace»*[2]· *ἀνάλογον δὲ τούτου καὶ τὸ Σαδίου τοῦ πάνυ :*

[3]«هرچه دردل فرود آید دردیده نکو ناید»

*Διαφαινόμενον δὲ κατὰ βαθμοὺς ἐν τοῖς αἰσθητοῖς τὸ εἶδος τὴν ἀξίαν ἀποτελεῖ τῶν καλῶν ἑκάστου· οὐ γὰρ ὁμοίως πάντα καλά, τὴν αὐτὴν ἀξίαν ἔχοντα, καθάπερ Ἀρίστιππος ἔλεγε περὶ τῶν ἡδονῶν ὡς οὐδὲν ἀλλήλων διαφέρουν*[4]· *καλόν τι γὰρ καὶ τοῦ φωτὸς ἁπλῶς ἕνεκα κατὰ Πλωτῖνον*[5], *οἷον ἥλιος ἢ σείριος. (ἔστι δὲ καλόν τι καθ' ἑαυτὸ καὶ τὸ φῶς ἁπλῶς ὅτι λόγος τις ὤν· ὁ δὲ λόγος νοῦς), καὶ τῆς χρόας, οἷον τὸ πῦρ ἢ λειμὼν ἢ χρυσὸς*[6] *ἢ λίθος, καὶ τῆς στερρότητος ἅμ' ἐκείνοις, οἷον ἀδάμας, καὶ τοῦ μεγέθους, οἷον ὄρος ἢ πλάτανος ὁ δὲ λίθος*

---

*1. Θεοκρ. Εἰδ. 6, 18 καὶ 19 :*

*.................................... ἢ γὰρ ἔρωτι*
*πολλάκις, ὦ Πολύφαμε, τὰ μὴ καλὰ καλὰ πέφανται.*

*2. A. Alfani Proverbi p. 4.*

*3. Ῥοδῶνος κεφ. 5 ἐν ἀρχῇ.*

*4. Διογ. Λαερτ. II, 87 καὶ Πλ. Φιληβ. 12 D.*

*5. Ἐνν. 1, 6 καὶ 12, 5.*

*6. Ἐκ τῆς χρόας, ὡς ἔοικεν, ἐκλήθη τὸ μέταλλον ὡς εἰκάζει Κούρτιος. ἰδ. Ι. Κουρτίου Ἑλλ. Ἐτυμολογίαν ἐν λ.* **χρυσός**· *οὕτω καὶ ἐν τῇ σανσκρίτῃ πρὸς ἑτέροις ὀνόμασιν ἔχει τὸ s u v a r n a m=εὔχροον· ἔστι δ' ἡ τοῦ χρυσοῦ τῶν χροιῶν ὁμολογουμένως ἡ καλλίστη.*

SISMANOGLIO MEGARO



*κάλλιον ὁ γλυπτός, ὢν ἀμῇ γέ πῃ μέτοχος εἴδους, οἷον ὑδρία, κίων, ὁ δὲ χρυσὸς χαριέστερος εἰργασμένος, οἷον ἔκπωμα, φιάλη, στέφανος, ὅτε πρὸς τῇ χρόᾳ μετέχων ἰδέας· ἔτι δὲ μᾶλλον ὁ φυτοῦ τινος ἢ ζώου παριστὰς ὁμοίωμα καὶ καθόλου τὸ ἐντελεχείᾳ κάλλιον ἢ τὸ δυνάμει. Ἔστι γὰρ εἶδος, οὖσα τέλος, ἡ ἐντελέχεια· τὸ γὰρ τέλος εἶδος ἐστὶ κατ' Ἀριστοτέλη*[1].

*Εἰσὶ δὲ τῶν εἰδῶν αἰσθητὰ τὰ μὲν ὄψει, τὰ δ' ἀκοῇ· κἀκεῖνα μὲν ἐν ἠρεμίᾳ ἢ κινήσει, τὰ δὲ τῆς ἀκοῆς ἐν κινήσει πάντα, λόγοι καὶ τόνοι καὶ μέλη· διὸ καὶ αἱ τέχναι αἱ μὲν ἐν ἠρεμίᾳ τὰ τῶν εἰδῶν ὁρατὰ παριστᾶσιν, οἷον ἀ ρ χ ι τ ε κ τ ο ν ι κ ή, γ λ υ π τ ι κ ή, γ ρ α φ ι κ ή, αἱ δ' ἐν κινήσει, οἷον ὀ ρ χ η σ τ ι κ ὴ καὶ π α ν τ ο μ ι μ ι κ ή· ὅσαι δὲ τὰ τοῖς ὠσὶν ἀντιληπτὰ τῶν εἰδῶν, ἐν κινήσει πάντα, ῥητορική, ῥυθμική, μουσικὴ καὶ ποίησις.*

*Ἔστιν οὖν ἡ ποίησις ὡς τέχνη κεχωρισμένη κατὰ Πλάτωνα*[2] *«μόριον ἀπὸ τῆς ὅλης ποιήσεως ἀφορισθέν, τὸ περὶ τὴν μουσικὴν καὶ τὰ μέτρα»· διορίζων ὅμως οὕτως αὐτὴν ὁ φιλόσοφος ἐσιώπα δῆλον ὅτι τὴν αἰσθητήν, ἐν ᾗ τὸ ποιούμενον παρίσταται, μορφὴν ἄνευ τῆς ὕλης, ἣν ἡμῖν ἀνάγκη προσθεῖναι τελειότητος ἕνεκεν ὁριστικῆς ὁριζομένους ὧδε : ποίησίς ἐστι λόγος ἔμμετρος, τάξιν ἐμφαίνων ὄντων ἢ γενομένων ἢ ψυχῆς παθημάτων καὶ ποιημάτων οἵαν ὁ ποιητὴς αὐτὸς ἐκόσμησε τῇ φαντασίᾳ τῆς ἀληθοῦς ἀμείνω καὶ τελειοτέραν*[3].

---

*1. Φυσ. II, 7.*

*2. Συμπ. 205 C.*

*3. Ἀριστ. ποιητ. IX, 1: ὁ γὰρ ἱστορικὸς καὶ ὁ ποιητὴς οὐ τῷ ἢ ἔμμετρα λέγειν ἢ ἄμετρα διαφέρουσιν . . . ἀλλὰ τούτῳ διαφέρει, τῷ τὸν μὲν τὰ* **γενόμενα** *λέγειν, τὸν δὲ* **οἷα ἂν γένοιτο**· *διὸ καὶ φιλοσοφώτερον καὶ*

*Κατὰ δὴ τῆς τῶν εἰρημένων τάξεως καὶ τοῦ ἐρρύθμου, ᾧ φράζεται, λόγου τὸ εἶδος εἰς ἔπος ἀνέκαθεν αὕτη διῄρηται καὶ δρᾶμα καὶ λύραν. Ἐπεὶ δ' ἡμῖν ἐπικόν ἐστιν, ὡς εἴρηται, τὸ ποιημάτιον, εἰκὸς ὀλίγα περί τε ἔπους ἰδίᾳ καὶ περὶ τῶν ἐν ἡμῖν ἐνεργειῶν, αἷς πῃ συνῆφθαι δοκοῦσι τὰ τῆς ποιήσεως εἴδη, προθεωρῆσαι.*

*Αἱ τοίνυν ἐνέργειαι παρίστανται καθόλου τρισσαί: α') αἴσθησις, β') τὸ συνειδὸς ἢ συναίσθησις (μεθ' ἡδονῆς ἢ λύπης), γ') βούλησις. Ὁποία μὲν οὖν ἑκάστη τούτων, ὑποτιθέμεθα προμεμαθημένον. Εἰ δέ τις εἰς αὐτὰς ἀναφέροι τὰ τῆς ποιήσεως εἴδη, τῆς αἰσθήσεως οἰκεῖον εἶναι δοκεῖ τὸ ἔπος, ἧς ἡγουμένης φύσει καὶ καθόλου τῶν ἄλλων, ἡγήσατο δῆλον ὅτι καὶ τὸ ἔπος τῶν ἑτέρων δυοῖν ἔνθα κατὰ φύσιν ἡ τῆς ποιήσεως ἐγένετο βλάστησις, οὔπω τῆς νοήσεως ἀκμαζούσης. Ὅθεν ὁ χαρακτὴρ ὁ τοῦ ἔπους, παιδικὴν ἐν πολλοῖς ἐμφαίνων ἁπλότητα καὶ σαφήνειαν, ἐξ ὧν αἱ ἐν αὐτῷ μέχρι κόρου πολλάκις ἐπαναλήψεις. Ἐπεὶ δ' ἡμῖν ἐστι κυριωτάτη μὲν αἴσθησις ἡ τῆς ὁράσεως [1], ἐχομένη δ' ἐκείνης ἡ τῆς ἀκοῆς, ὧν οἱονεὶ συνέχειά τις ἀσθενὴς ἡ φαντασία, διὰ ταύτης, ἀκμαιοτέρας εἰκότως οὔσης ἐν τῇ νεότητι τοῦ γένους ὥσπερ ἐν ἑκάστῳ κατὰ τὴν ἥβην, ὁ ἐποποιὸς ἐναργῶς ὡς οἷόν τε παρίστησιν ἑαυτῷ καὶ τοῖς ἄλλοις ἣν αὐτὸς κατ' ἐπίνοιαν ἐπενόησε τάξιν ὄντων ἢ γενομένων οἷον ἐν χώρῳ καὶ χρόνῳ.*

---

*σπουδαιότερον ἱστορίας ἐστὶ ποίησις· ἡ μὲν γὰρ ποίησις* **τὰ καθόλου** *μᾶλλον, ἡ δ' ἱστορία* **τὰ καθ' ἕκαστον** *λέγει». πρβλ. καὶ ΙΕ, 2.*

*1. Ἀριστ. περὶ ψυχ. Γ, 3.*

SISMANOGLIO MEGARO



*Οὖσα δὴ τῶν αἰσθητῶν ἡ ἐποποιία καθόλου μιμητική, τῶν ἀνθρωπίνων (ὥσπερ καὶ τὸ δρᾶμα· τὰ γὰρ αὐτὰ μιμούμενα τῷ δι' οὗ διαφέρουσι καὶ τῷ τρόπῳ [1]) κατ' ἐξοχὴν ἀντέχεται πράξεων, ὅσαι μὴ κοιναὶ μηδὲ συνήθεις, ἀλλ' ἐξαίρετοι καὶ σπάνιαι καὶ θαυμασταὶ καὶ μέγα τῷ ὑπερόχῳ κινοῦσαι τὸ διαφέρον, ἡρώων οὖσαι, θεοῖς ἢ δαίμοσι φίλων ἢ μισουμένων, ἀρωγοῖς ἢ πολεμίοις ἐκ τούτου παρισταμένοις· οἱ γὰρ ἄνθρωποι φιλοῦσι φύσει τὸ θαυμαστὸν [2] διὰ τὸ πέρα τοῦ (κοινῇ νομιζομένου) δυνατοῦ καὶ συνήθους ὂν ἐπιθυμίαν ἐνιέναι τῇ καινότητι τοῦ μανθάνειν ὅ,τι τοῦτο καὶ ποῖον· ἡδὺ δὲ καθόλου τὸ μανθάνειν [3]· διὸ καὶ τὸ θαυμαστόν· τὰ δὲ συνήθη καὶ καθ' ἡμέραν (οἷον ἡλίου καὶ σελήνης ἐπιτολαὶ καὶ ὑετοὶ καὶ διοσημεῖαι καὶ τελεταὶ καὶ πανηγύρεις) ἀδιάφορα τῷ χρόνῳ καθίσταται καὶ καλά περ ὄντα.*

*Τὸ δὴ θαυμαστὸν αὐτὸς εἰδέναι μὴ δυνάμενος ὁ ποιητὴς («ἡμεῖς δὲ κλέος οἷον ἀκούομεν οὐδέ τι ἴδμεν» Ἰλ. Β, 486), ἡμιθέων ἢ θεῶν ἢ δαιμόνων ἔργον ὑπάρχον, ἀληθῶς αἰσθάνεται λαλοῦντος ἐν ἑαυτῷ τοῦ θείου, οὗ τὴν ἐπίπνοιαν ἀρχόμενος, ἔστι δ' ὅτε καὶ μεταξὺ διηγούμενος, ἐπικαλεῖται σπουδάζων [4]· ἀφηγεῖσθαι δ' οὕτω δοκοῦντος ἐκείνου, διατελεῖ μένων αὐτὸς ἀφανὴς ὡς ὄργανον ἁπλοῦν ὑπ' ἐκείνου φορούμενον. Ὅθεν*

---

*1. Ἀριστ. Ποιητ. Γ. Ε. ΚΔ.*

*2. Ἀριστ. Ῥητορ. Γ, 2, 15.*

*3. Ἀρ. Ῥητορ. Γ, 10. Ποιητ. Δ, καὶ Φιλοσοφίας πρώτης (Μεταφ.) Α, ἐν ἀρχῇ.*

*4. Ἰλ. ἐν ἀρχῇ. Ὀδ. ἐν ἀρχῇ. Οὐεργ. Αἰν. ἐν ἀρχῇ Ὀουιδ. Μεταμόρφωσις. Ὀππ. Κυνηγ. Ἰλ. 13, 484 κἑ.*

ἐλάσσων ἐν τοῖς ἔπεσιν ἡ διανόησις, ἐκ δὲ τούτου καὶ ἡ ἑνότης ἢ ἐν ταῖς ᾠδαῖς. Ἐστὶ δ' ἡ τοῦ ἔπους ἑνότης ὥσπερ ἡ τοῦ δράματος οὐκ ἐν τῷ περὶ ἑνός, Ὀδυσσέως ἢ Θησέως, τὴν ἀφήγησιν εἶναι «πολλὰ γὰρ» ὡς Ἀριστοτέλης φησί, καὶ ἄπειρα τῷ ἑνὶ συμβαίνει, ἐξ ὧν ἐνίων οὐδέν ἐστιν ἕν», ἀλλὰ περὶ μιᾶς ἐκείνου πράξεως, ὅλης τε καὶ τελείας ὅπερ ὁρᾷ τις ἐν τοῖς Ὁμηρικοῖς ποιήμασιν, ἐπαινουμένοις ὑπ' Ἀριστοτέλους ἐπὶ τούτῳ[1]. Ἡ δὲ μία πρᾶξις οὖσα βραχεῖά τις, ὡς εἰκός, ἐπεκτείνεται τοῖς ἐπεισοδίοις ἤτοι μέρεσιν οἰκείοις ὁμοῦ περαινομένοις[2], ἃ τὸ πρέπον ἔχοντα μέγεθος συνάπτει τῇ πράξει τὸ ἐν ἑνὶ συμβῆναι χώρῳ καὶ χρόνῳ, ποικίλα περ ὄντα. Ἐκ δὲ τούτων, αὐξομένου τοῦ ὄγκου, μεγαλοπρεπές τε τὸ ἔπος γίνεται καὶ τερπνόν, εἰς ὃ συντελοῦσιν ἔτι λέξεις καὶ σχήματα, λέξεώς τε καὶ διανοίας, ἰδίᾳ δ' αἱ μεταφοραὶ[3] καὶ τούτων οὐκ ἔλασσον αἱ παραβολαὶ δι' ἧς ἐπιχέουσι τῷ λόγῳ σαφεῖ περ ὄντι σαφηνείας ἔτι μείζονος καὶ ποικιλίας μετὰ χάριτος, καίπερ αὗται (παρά γοῦν Ὁμήρῳ) τοῦ μέτρου πέρα πολλάκις ἐκτεινόμεναι· δεῖ μέντοι μὴ πέρα τοῦ μετρίου τῷ ἔπει μέγα γενέσθαι τὸ μῆκος, ἀλλ' εὐνόητον εἶναι τῇ μνήμῃ καὶ ῥᾳδίως αὐτοῦ τὸν ἀκούοντα θεωρεῖν ἀρχήν τε καὶ μέσον ὥσπερ ζῴου καὶ τέλος[4].

1. Ποιητ. Η.
2. Αὐτ. ΚΔ.
3. Ἀρ. Ῥητ. 3, 2: δύναται πλεῖστον ἡ μεταφορὰ καὶ ἐν ποιήσει καὶ ἐν λόγοις· καὶ κατασκέψαι: τὸ σαφὲς καὶ τὸ ἡδὺ καὶ τὸ ξενικὸν ἔχει μάλιστα ἡ μεταφορά.
4. Πλατ. Φαιδρ. 264 C.: δεῖ πάντα λόγον ὥσπερ ζῷον συνεστάναι...... μέσα τε ἔχειν καὶ ἄκρα πρέποντ' ἀλλήλοις καὶ τῷ ὅλῳ». Ἀρ. Ποιητ. Ζ.

SISMANOGLIO MEGARO



Τὸ δὲ μέτρον ἡρέθη τοῖς ἐποποιοῖς, ἀρχαίοις τε καὶ νεωτέροις ἀεὶ τὸ οἰκεῖον καὶ τῷ σεμνῷ τοῦ ποιήματος ἁρμόττον, αὐτῆς, ὡς Ἀριστοτέλης φησί[1], τῆς φύσεως εὑρούσης, ἐκείνοις μὲν τὸ ἡρωικόν, ὀγκωδέστατον ὂν καὶ στασιμώτατον[2] καὶ παρὰ τοῖς Ἰνδοῖς Ἀρίοις ὁ σλόκος[3] ἐκ τεσσάρων συγκείμενος ὀκτασυλλάβων μερῶν, ὧν ὁμοῦ τὰ δύο γραφόμενα στίχον ἕνα δοκοῦσιν ἀποτελεῖν ἑκκαιδεκασύλλαβον· τῶν δὲ νεωτέρων τοῖς μὲν ἐκ Περσίδος τὸ βακχειακόν[4], ἐξ ἕνδεκα συλλαβῶν, ὀγκῶδες ἐπίσης, Ἰταλοῖς δὲ καὶ Γαλάταις ὁ δωδεκασύλλαβος. Ὁ δὲ τοιοῦτος ἐν πᾶσι ῥυθμὸς χωρεῖ διὰ τέλους ὁ αὐτὸς ἀναλλοίωτος, τοῦ ποιητοῦ μέν, ὡς ἁπλοῦ δοχείου τῆς ἀφηγήσεως, μένοντος ἀπαθοῦς, τῶν δὲ στίχων, ὥσπερ ἐν τῷ μύθῳ τῶν γενομένων ἢ πράξεων, ὁμοτόνως ἀλλήλοις ἀκολουθούντων. Ἔλαβε μέν τοι παρὰ τοῖς νῦν Εὐρωπαίοις λυρικώτερον ὡς τὰ πολλὰ χαρακτῆρα τὸ ἔπος, ἐξ οὗ καὶ τὸ εἶδος, ᾧ περιβάλλεται, τὸ στροφικόν. Εἵλοντο δὲ διὰ τὸ σεμνὸν ἐκ τῶν ἀρχαίων τὸ τοιοῦτο μέτρον ὅσοι τῶν φιλοσόφων ἐδίδαξαν ἐμμέτρως, ὥσπερ Ἐμπεδοκλῆς καὶ Ξενοφάνης καὶ Παρμενίδης, ὧν αἱ ποιήσεις ἔχουσιν ἄλλο τῇ Ὁμήρου κοινὸν οὐδὲν εἰ μὴ τὸ μέτρον[5].

Εἰσὶ δὲ τοῦ ἔπους εἴδη καὶ παραφυάδες ἔνθεν αἱ παρῳδίαι

1. Ποιητ. ΚΔ.
2. Αὐτ.
3. Ἐν τῷ Μαχαφαράτῳ· ἴδ. Bopp. Nal. Præf. VI κξ.
4. Ἐν τῇ τοῦ Φιρδουσίου **Βίβλῳ βασιλέων** (شاهنامه), ἐν τῇ τοῦ Νιζαμίου **Ἀλεξανδρίδι** (سکندرنامه), ἐν τῷ Σάδιου **Κήπῳ** (بوستان) καὶ ἐν ἄλλοις.
5. Ἀριστ. Ποιητ. Α. 2.

*παρὰ τοῖς ἀρχαίοις καὶ οἱ σίλλοι καὶ ἔνθεν οἱ Ἀρχιλόχου τροχαῖοι καὶ ἴαμβοι, δι' ὧν, κινητικωτέρων ὄντων*[1], *ἀποβαλὸν αὐτοῦ τὸ μεγαλοπρεπὲς καὶ τὸ σεμνὸν ἐπλησίασε τῇ κοινῇ διαλέκτῳ. Ἀνὰ δὲ χρόνον ἐγένετο καὶ ἐν τῇ ποιήσει, καθάπερ ἐν τῇ φιλοσοφίᾳ, μετάβασις ἀπὸ τῶν ἔξω πρὸς τὰ ἔσω, τοῦτ' ἔστιν ἀπὸ τῆς ἀφηγήσεως γενομένων ἢ πράξεων εἰς ἐκδήλωσιν ἰδίων τοῦ ποιητοῦ διανοημάτων ἢ ψυχῆς παθημάτων, ἤτοι τὸ λυρικὸν τῆς ποιήσεως εἶδος καὶ τὸ μικτὸν ἐξ ἀμφοῖν, τὸ δρᾶμα, πρὸς ὃ τὸ ἔπος ἔχει κοινόν, ὥσπερ εἴρηται, τόν τε μῦθον, ἁπλοῦν ἢ πεπλεγμένον ἤτοι δέσιν ἔχοντα καὶ λύσιν, ἀναγνωρίσεις τε καὶ περιπετείας, ἢ τοὐναντίον ἀμοιροῦντα τούτων, καὶ τὸ διανοίας καὶ λέξιν ἔχειν καλῶς κατ' Ἀριστοτέλη*[2]· *διαφέρουσι δὲ τῷ τε μήκει καὶ τῷ μέτρῳ*[3] *καὶ τῷ τὰ μὲν ἐν τῷ ἔπει τοῖς ὠσὶ καὶ τῇ φαντασίᾳ μόνοις ὡς γενόμενα, τὰ δ' ἐν τῷ δράματι καὶ τοῖς ὄμμασιν ὡς τελούμενα* ν ῦ ν *εἰς τὸ συνειδὸς εἰσιέναι.*

*Ἔστι δὲ καὶ ἕτερόν τι παρ' ἐκείνοις εἶδος, μικτὸν ἐξ ἀμφοῖν, ἔπους καὶ λύρας, ἔχον δὲ τὸ μέτρον ἐπικόν, ἔστι δ' ὅτ' ἐλεγιακόν, τὸ βουκολικόν· ᾧ τῷ μὲν ἔπει κοινὸν ὑπάρχει τὸ ἀφελὲς καὶ τὸ τοῦ λόγου φυσικόν, ὕψους μὲν ἀμοιροῦν, ἁπα-*

1. *Αὐτ. ΚΔ: τὸ ἰαμβεῖον καὶ τὸ τετράμετρον κινητικά· καὶ τὸ μὲν ὀρχηστικόν, τὸ δὲ πρακτικόν.*

2. *Ποιητ. ΚΔ.*

3. *Αὐτ. Ε.: ἡ ἐποποιία τῇ τραγῳδίᾳ μέχρι μόνου μέτρου—ἠκολούθησεν—ἔτι δὲ τῷ μήκει· ἡ μὲν γὰρ ὅ τι μάλιστα πειρᾶται ὑπὸ μίαν εἶναι περίοδον ἡλίου, ἡ δ' ἐποποιία ἀόριστος τῷ χρόνῳ. — : ἃ μὲν ἐποποιία ἔχει ὑπάρχει τῇ τραγῳδίᾳ, ἃ δ' αὐτῇ οὐ πάντα ἐν τῇ ἐποποιίᾳ.*

SISMANOGLIO MEGARO



*λότητι δὲ καὶ χάριτι πρέπον, τῇ δὲ λύρᾳ τὸ δηλωτικὸν παθημάτων, ἅπερ ᾄδουσι πρὸς ἀλλήλους οἱ ποιμένες· ἔχει δ' ἅμα καὶ τὸ δραματικόν, διαλεγομένων ὥσπερ ἐν τῷ δράματι καὶ δρώντων. Ὅθεν ἐστί τι μεταξὺ τῶν ἐπῶν, ἀρχαίου καὶ νεωτέρου, λυρίζοντος, ὥσπερ εἴρηται.*

*Ἔστι δὴ τὸ ποιημάτιον, ὥσπερ εἴρηται, τὸ μέγιστον ἅμα καὶ κάλλιστον ἐπεισόδιον οὗπερ ἐμνήσθημεν ἀρχόμενοι Μαχαφαράτου, ἔπους, εἴπερ ἄλλο, μεγίστου,*[1] *τοῦ μεγάλου τῶν Φαραταίων ἐμφυλίου πρὸς ἀλλήλους ἀγῶνος ἀφήγησιν ἔχοντος, ἅμα δὲ τούτῳ μύθους τε καὶ φιλοσοφήματα παντοῖα καὶ πλεῖστα καὶ παραδόσεις ἠθικὰς περιλαμβάνοντος. Ἀφηγεῖται δ' ἐν αὐτῷ Βριχάδασβος ὁ σοφὸς Ἰουδισθίρῳ τῷ Πανδυάδῃ*[2], *τὴν οὐσίαν ἐν ἀστραγάλων παιγνίῳ πᾶσαν ἀπολέσαντι καὶ φυγὴν ὑπὸ τῶν ἀντιπάλων ἀνεψιῶν ὑπέχοντι δωδεκαετῆ, τὰ τοῦ Νισαδίου Νάλου, ταὐτὰ μὲν ὑπὸ τοῦ αὐτοῦ παιγνίου παθόντος, ἀνακτησαμένου δὲ μετὰ φυγὴν καὶ πλάνην πολυχρόνιον οὐσίαν τε καὶ βασιλείαν. Ἔστι δὲ τὸ ἐπεισόδιον ἐν τῷ τρίτῳ τῶν ἐννεακαίδεκα βιβλίων, ἐξ ὧν ἀποτελεῖται τὸ ἔπος, καὶ ἐν*

1. *Ἐξ ἑνδεκακισμυρίων συγκείμενον σλόκων ἤτοι στίχων διπλασίων.*

2. *Οἱ τοῦ Πάνδου (Pandu) υἱοὶ πέντε τὸν ἀριθμόν, ἀγαθοὶ δὲ καὶ μετριοπαθεῖς, ἠγωνίζοντο πρὸς τοὺς εἰκοσαπλασίους περίπου τοῦ Δριταράστρου, μοχθηροὺς καὶ φαύλους, περὶ βασιλείας. Ἐμπρησθέντων εἶτα τῶν ἀνακτόρων αὐτῶν ὑπὸ τῶν ἀντιπάλων, ἔζων ἐν ἄλσεσιν ἀφανεῖς ὡς ἐρημῖται μέχρις ἐν ἀγῶνι μνηστήρων ὑπὲρ θυγατρὸς βασιλέως Ἰνδοῦ, τοῦ Δρυπάδου, φανερωθέντες ἐνίκησαν ἄλλους τε καὶ τοὺς ἰδίους ἀνεψιούς, καὶ διενείμαντο πρὸς ἑαυτοὺς τὴν βασιλείαν, ἣν Ἰουδίσθιρος ὁ Πανδυάδης, μέγας ὕστερον ἀναρρηθεὶς ἡγεμών, ἀπώλεσεν, ὡς εἴπομεν, ἐν παιγνίῳ πρὸς ἐκείνους.*

*Ἀσίᾳ μὲν εἰς τὴν Περσίδα τὸ πρῶτον αὐτὸ μετήνεγκε Μοῦσαν ὁ περιώνυμος Φείζιος, ποιητὴς παρ' Ἀκβάρῳ τῷ Μογγόλων ἐν Ἰνδίαις αὐτοκράτορι, Νάλ-ου-Δαμὰν ἐπιγράψας, ἐν Εὐρώπῃ δ' ἄλλοι τε [1] καὶ Φρ. Ῥύκκερτος εἰς τὴν γερμανίδα [2].*

1. *Κοσγάρτενος καὶ Βόππιος.*
2. *Ἐν Φραγκοφορτίῳ τὸ πρῶτον (ἐν ἔ. 1828).*

SISMANOGLIO

# ΝΑΛΟΣ ΚΑΙ ΔΑΜΑΙΑΝΤΙΑ

## Α

**Ἄλφα** Νάλου χάριτας, Βειδαρβίδος ἀγλαὸν εἶδος,
ἀμφοῖν ἐξενέπει πτηνοδίδακτον ἔρον.

Ὦ Μοῦσα καλλικέλαδε, τὰ θυμαρῆ λιποῦσα,
τῆς Πιερίας ἄδυτα, καὶ ῥαδινά μοι δοῦσα
πτερὰ πρὸς τὴν εὐήλιον, ἐριθηλῆ κοιλάδα
τοῦ Γάγγου μεταρσίωσον ὡς πέλειαν ἠβάδα.
Ἐκεῖ δὲ δεῖξον, ὦ θεά, τὰς ὕλας, ἔνθ' ὁ Νάλος
τοῦ Βιρασένα τὸ κλεινὸν ἐταλαιπώρει θάλος
ἀφαιρεθεὶς ἀνάκτορα, τιμάς, ἡγεμονίαν,
ἑταίρους, ὄλβον, ἡδονὰς—ἁπλῶς—εὐδαιμονίαν,
φυγάς, ἀλήτης, ἄστεγος, τειρόμενος ἐνδείᾳ,
ἐσχάτῃ συνεχόμενος ἐπὶ πολὺ πτωχείᾳ,
καὶ μόνην ἔχων, ἄνασσα, δεινῶν παραμυθίαν
ἣν ὕστερον ἀπέλιπε πιστὴν Δαμαιαντίαν.
Εἰπὲ καὶ πῶς ἡ τάλαινα καταλειφθεῖσα μόνη
ὡς ὑπὸ Νότου δονηθεῖσ' ὀξέος ἀνεμώνη
καὶ ποταμοὺς καὶ νάματα καὶ δάση φρικαλέα
καὶ νάπη δολιχόσκια διαδραμοῦσ' ἡ νέα,
εἰς τέλος αὖθις ἔτυχε τοῦ ποθεινοῦ συμβίου
καὶ μετ' ἐκείνου τῶν καλῶν ἀπήλαυσε τοῦ βίου.

Καὶ πρῶτον ᾄδέ μοι συνοῦσ' ἡδυμελῶς τοῦ Νάλου
τὰς ὑπερόχους ἀρετάς, ὦ Μοῦσα, τοῦ μεγάλου,
καὶ τὸν αἰθέρα τέμνουσαν ἐρώτων ἀγγελίαν,
καὶ πτερωτοῦ κελαδεινὴν ἡδίστην ὁμιλίαν,
καὶ πῶς εὐσήμων ἰαχῇ τὸ πρῶτον ὑμεναίων
τῇ καλλικόμῳ συζυγεὶς μετέπειτα δυσαίων
ἀπεξενώθη ζηλωτῆς ἀρχῆς καὶ βασιλείας
καὶ τῆς λοιπῆς ἐξέπεσεν ἁπάσης εὐτυχίας.

---

Τοῦ Γάγγου πέραν ἔνθ' ὁρᾷς τὴν ἀχανῆ κοιλάδα
ᾠκεῖτο χώρα, Νισαδίς, ἀνὰ τὴν πεδιάδα
παρὰ τὸ ὄρος Βίνθυον, εὐρεῖα καὶ πλουσία,
ὀλβία, πολυβότειρα, τὴν ὄψιν ἐξαισία.
Ἐκεῖ ποτ' ἤνασσεν ἀνὴρ ἐπικυδής, ὁ Νάλος,
τοῦ Βιρασένα θαλερὸν ἀνάθρεμμα καὶ θάλος,
κεκοσμημένος ἀρετῶν ἐρατεινῷ στεφάνῳ,
ἀλκῇ καὶ κάλλει σώματος ἐλλάμπων ἀμηχάνῳ,
πολεμιστής, ἱππόδαμος, ὡς Ἴνδρος αἰθερίων,
ὑπεροχώτατος ἀγῶν ἐκεῖνος ἐπιγείων,
ἡλίῳ σέλας ἀγλαὸν ἰσοφαρίζων, ἥρως
ἐν τοῖς ἀγῶσιν ἄτρωτος, ἰσόθεος, ἀγήρως,
περικαλλέσι γυναιξὶν ἐπήρατος καὶ φίλος,
ἁγνός, ἀμύμων, ὅσιος, ἐπίχαρις, αἱμύλος,
ἡδύς, φιλαληθέστατος, βαθὺς τῶν Οὐεδείων
ἐξηγητὴς ὑμνῳδιῶν, ἐπόπτης μυστηρίων,
τῷ Μάνῳ μένος εἴκελος ἀρίζηλος τοξότης,
τοῖς ὑπηκόοις ἤπιος, φιλόφρων, ὀλβοδότης!

SISMANOGLIO MEGARO



Ἐν τοῖς Βιδάρφοις ἦν ἀγὸς ἑτέρωθε μυρίαις
κεκοσμημένος ἀρεταῖς, ὁ Φῖμος, ἐξαισίαις!
παιδογονίας ἐραστής, ἀλλ' ἀτυχῶς τοῦ θείου
ἐστερημένος τῇ βουλῇ τῆς ἡδονῆς παιδίου.
Πρὸς τοῦτον ἦλθε βραχμανος ἐπιφανὴς παιδεία,
Δάμανος ὄνομα, κλεινὸς ἐπὶ θεοσεβείᾳ·
ἐλθόντα δ' ὑπεδέξατο τὸν ὅσιον ὁσίως
ἐλπίσι θερμαινόμενος ὁ Φῖμος ἐξαισίως.
Εἰς ἀμοιβὴν ἧς ἔτυχε θερμῆς φιλοξενίας
ὁ Δάμανος ἠξίωσεν ἐκεῖνον εὐμενείας·
Τὸ θεῖον ἤκουσε ταχὺ τὸν ἱερὸν ὁδίτην
καὶ θυγατέρων ἔδωκε τῷ Φίμῳ μαργαρίτην,
Δαμαιαντίαν, εἶτ' ἑξῆς ἐρικυδῆ τριάδα
υἱῶν ἀρίστων Ἄρεως ἐργασιῶν ἠθάδα.
Ἑσπέρᾳ δ' ἴσον ἔλαμπεν ἡ Δαμαιαντία
καὶ θάμβος εἶχε τὸν ἰδόντ' ἐκείνην ἐναντία!
καὶ φήμη δ' ἤγγειλε ταχεῖ' ἀνὰ τὴν ὑφ' ἡλίῳ
ἀνθοῦσαν ὄλβῳ, χάρισι καὶ κάλλει θεσπεσίῳ·
ἡβώσῃ δ' εἶτα θαλερῶν χορὸς ὑπηρετίδων
περικαλλὴς παρίστατο καὶ φίλων νεανίδων,
ἐν αἷς ἰδέαν ἐκπρεπὴς ἀπέστιλβεν ἡ θεία
ὡς ἡ μεγάλοις ὄμμασι κυδαινομένη Σρία·
ἐπιχθονίων ὄψεσι παρθένος οὐδεμία
οὐδ' ἐν Ἰάξοις ἢ θεοῖς ὡράθη ποτ'[1] ὁμοία.

---

1. Τὴν τοῦ ψιλοῦ πρὸ δασυνομένου γενηθέντος εἰς τὸ οἰκεῖον δασὺ μεταβολὴν ἀπεφύγομεν ἁπαξαπλῶς, ἵνα μὴ τὸ κείμενον ἀρχαΐζῃ πέρα τοῦ δέοντος.

μακάρων ἴσα καὶ βροτῶν ὡς ἥδε διανοίας
τῇ καλλονῇ ταράττουσα, τινάσσουσα καρδίας!
Ἐξ ἴσου δ' ἀπαράμιλλος ἀπέλαμπεν ὁ Νάλος
Ἐρώτων ὥς τι πάγκαλον ἐν ἡγεμόσι θάλος!
Ἐκείνῳ μὲν ἐνδελεχῶς οἱ φίλοι προσιόντες
ἐνεκωμίαζον δεινῶς τὴν νέαν, εἰσιδόντες,
τῇ δὲ νεάνιδι πυκνῶς αἱ φίλαι τὰς τοῦ Νάλου
διεξηγοῦντο καλλονὰς μετ' ἤθους ἡδυλάλου·
δι' ὃ πρὶν ἢ προσίδωσι τοῖς ὄμμασιν ἀλλήλους
εἰς ἔρωτας ἐνέπιπτον οἱ τλήμονες ἀδήλους!
Ἀλλ' ὅτε μελεδήμασι τειρόμενος ὁ Νάλος,
ὃν ἀλγεινὸς ἐκύμαινεν ἐρώτων ἤδη σάλος,
ἐλθὼν εἰς ἄλσος ἱερὸν ἐκάθητο ῥεμβάζων
καὶ πρὸς τὰ Βίδαρφα τὸν νοῦν ἀεὶ μεταβιβάζων,
ἐκεῖ πλησίον εἶδέ που χηνῶν χρυσοπτερύγων
καλλίστων ὅμιλον· εὐθὺς τὼ χεῖρε διανοίγων
ἠρέμα προσεπέλασε τῷ πλήθει καὶ κινήσας
αὐτὰς ἐκείνων ἔλαβε τὸν ἕν', ὁ δὲ δονήσας
τὰ χείλη «μή με, βασιλεῦ», —ἱκέτευε— «κρατήσῃς
μηδέ με, Νάλ', ἀνηλεῶς τοῦ ζῆν ἀποστερήσῃς·
δωρησαμένῳ μοι, τὸ φῶς εὐθὺς ὑπηρεσίαν»
—ἐπέλεγε— «τελέσω σοι, λαγέτα, θαυμασίαν:
συνηγορήσω περὶ σοῦ πρὸς τὴν ἡγεμονίδα
Δαμαιαντίαν εὐεπῶς, τὴν εὐειδῆ Φιμίδα,
σὲ μόνον ἵνα τοῦ λοιποῦ θυμοῦ καὶ διανοίας
ἐπιγινώσκῃ κύριον ἐκείνη μετ' εὐνοίας».
Ἀπολυθεὶς ὁ χὴν εὐθὺς καὶ κατ' εὐθυωρίαν
μετὰ τῶν ἄλλων ἔδραμε πρὸς τὴν Οὐϊδαρφίαν·

SISMANOGLIO MEGARO



ἀφικομένων εἶτ' ἐκεῖσ', ἁβρῶς περιπατοῦσαν
ἐν ἄλσει καὶ νεάνισι συνήθεσι συνοῦσαν
τῶν ἐπιχρύσων ἔλαβεν αὐτὴν ἐπιθυμία
καὶ συλλαβεῖν ἐπέθετο τὸν ἕν' ἡ ἐρασμία·
ἀλλ' ὅτε πρῶτον ἔψαυεν ἡ βασιλὶς ἡδέως
τοῦ πτερωτοῦ, μετὰ φωνῆς ἐκεῖνο θαρραλέως
τῇ καλλικόμῳ λιγυρᾶς: «ἐν τοῖς Νισάθοις Νάλος,
ὦ δέσποιν', ἐστιν» — ἔλεγε — «τοῦ Βιρασένα θάλος
τοῦ βασιλέως ἐρατόν, τῇ δίᾳ τῶν Ἀσβίνων
δυάδι δέμας εἴκελος, ὁμοῦ δὲ τὰς ἐκείνων
ᾠκειωμένος χάριτας! ἐν ἡγεμόσιν ἄλλος
οὐδεὶς ἐκείνῳ πέφυκεν ἰσόμοιρος τὸ κάλλος!
οὐδέ τις ὅσων εἴδομεν ἐς τόδε Γανθαρίων
ἡμεῖς, Ῥαξάσων, ὄφεων, οὐδέ τις αἰθερίων·
εἰ δή που, φίλη βασιλίς, ἐκείνου συνευνέτις
ἐγίνεσο, πανόλβιον δικαίως ἔμελλέ τις
ἡγεῖσθαι τὸ συνοίκημα· διότι σὺ πρεπόντως
τοῦ γυναικείου μάργαρον ὑμνῇ διαφερόντως,
ἡ δὲ τοῦ Νάλου πρόσοψις ἐστί, καλλίστη, μία
καὶ πᾶσα πάλλει παρ' αὐτῷ νεάνιδος καρδία!
ἡ δὲ δυοῖν συνάρμοσις ἀρίστων οὐρανίαν
ἀμφοῖν εὐαγγελίζεται θεῶν εὐδαιμονίαν!»
Μετὰ σιγὴν ἡ βασιλίς, ἀκούσασα, βραχεῖαν
«ἀμέσως» — εἶπε τῷ πτηνῷ — «τῷ Νάλῳ κατ' εὐθεῖαν
ἐλθὸν ἐκεῖσε τὴν αὐτὴν ἀπάγγελλ' ὁμιλίαν,
τὴν ἐρασίτερον αὐτῷ κομίσαν ἀγγελίαν!»
«εὐθέως» ἀπημείψατο, καὶ τάχιον ἐννοίας
ἐλθὸν εὐηγγελίσατο τὰ πάντα μετ' εὐνοίας:

## Β

***Βῆτ'*** *ἐρατῆς νοῦσον Δαμεάντιδος, ἡγεμονήων κλῆσιν ἀριγνώτων αἵρεσιν εἰς πόσιος.*

Ἀπὸ τῆς ὥρας ἡ Φιμὶς ἡ νεαλὴς ἐκείνης
ἐπὶ τὸν Νάλον ἔτρεπε τὸν νοῦν μετὰ πυρίνης
καρδίας, καὶ βαρύθυμος ἀεὶ καὶ πενθαλέα
καὶ κατηφὴς ἐφαίνετο καὶ κάτωχρος ἡ νέα.
Οὐ σίτου, σώματος ἀλκῆς, οὐχ' ὕπνου λυσιπόνου
ἐγεύετ' ἡ καλλίκομος, ἀλλ' εἶχετ' ὑπὸ στόνου!
ἰού! πυκνὰ στενάζουσα καὶ θλιβερὸν ἠχοῦσα
καὶ τῷ βλεφάρῳ τοῦ θυμοῦ τὸ πάθημα δηλοῦσα.
Κατανοήσασαι σαφῶς αὐτῆς ἐκ τῶν σημείων
τὸ μέγα τοῦ νοσήματος εὐθὺς μετὰ δακρύων
θερμῶν αἱ φίλαι τῷ πατρὶ τὰ πάθη τῆς φιλτάτης
περιπαθῶς ἀνήγγειλαν· ὁ δὲ μετ' ἀκροτάτης
φιλοστοργίας τοῦ δεινοῦ τὸ αἴτιον εὐθέως
καὶ τὸ τῆς νόσου φάρμακον ἐσκόπει καὶ βαθέως.
Αὐτίκα τὴν εὐάνθεμον νοήσας ἡλικίαν
τῆς κόρης ὁ πολύμητις κατ' ἐκλογὴν ἰδίαν
αὐτῆς εἰκὸς ἡγήσατο τοὺς γάμους ἐκτελέσαι
καὶ δημοσίᾳ τοὺς ἀγοὺς εἰς τοῦτο συγκαλέσαι.
Τὸ δόξαν ἐξετέλεσεν ἐκεῖνος, ὅτε πάντες
κατὰ σπουδὴν οἱ κοίρανοι τῷ Φίμῳ παραστάντες
μετ' ἐλεφάντων φοβερῶν, ἐπιφανῶν ἁρμάτων,
ἀνθοστεφῶν ὑπηρετῶν ὁμοῦ καὶ στρατευμάτων
εὐμενεστάτης ἔτυχον ὑποδοχῆς, οἰκοῦντες
ἐν ἐπιχρύσοις δώμασι, τὴν ἐκλογὴν ποθοῦντες.

SISMANOGLIO MEGARO



Ἐν τούτῳ δύο τῶν σοφῶν, ὁ Νάραδος ὁ δῖος
καὶ σὺν ἐκείνῳ Πάρβατος, ὁ συνετὸς καὶ θεῖος
περιερχόμενοι τὸ πᾶν εἰς τὸ τοῦ βασιλέως
τῶν ἀθανάτων ἵκοντο βασίλειον· ἡδέως
ὑποδεξάμενος αὐτοὺς ὁ Σάκρος τὴν ὑγείαν
τὴν ἐρατὴν ἐπύθετο καὶ τὴν εὐδαιμονίαν.
«Εὐδαιμονίας, ὕψιστε, γευόμεθα τελείας»
—ἀπήντησεν ὁ Νάραδος—«καὶ συνεχοῦς ὑγείας,
ἐν δὲ τῷ κόσμῳ, Μάχαβαν, ἐπίσης εὐπραγίας
καὶ πλήρους ἀπολαύουσιν οἱ μέδοντες ὑγείας.»
Ἀκούσας ὁ βαθύδοξος ἀγὸς τῶν αἰθερίων
μετ' εὐμενείας ἐμφανῶν ἐκείνῳ τεκμηρίων:
«εἰσὶ δὲ ποῦ» — προσέθηκεν — «οἱ ἥρωες οἱ θεῖοι,
οἱ βασιλεῖς οἱ Ξάτριοι, οἱ τῶν θεῶν οἰκεῖοι,
ἐν τοῖς ἀγῶσιν οἱ ζωῆς καὶ μένους ἀφειδοῦντες
καὶ τοῦ θανάτου προφανῶς αὐτοῦ καταφρονοῦντες,
τοῦ κόσμου τοῦδ' οἱ κοίρανοι, πηγῆς εὐδαιμονίας,
τῆς ἱερᾶς ὡς εἴμ' ἐγὼ ***βοὸς τῆς ἀφθονίας;***
οὐδένα τούτων, ἔκπαλαι ματαίως ἀναμένων,
ἐπιφαινόμενον ὁρῶ, τῶν ἐρατῶν μοι ξένων».
Ὑπολαβὼν ὁ Νάραδος «ἡγέτα βασιλέων»
—ἀπήντησε— «τὸ αἴτιον ἰδοὺ διὰ βραχέων:
ἡ κάλλει, μεγαλώνυμε, παντὸς τοῦ γυναικείου
καὶ δαιμονίαις χάρισιν ἐξέχουσα τοῦ θείου
τῶν Βιδαρφίων ἀρχηγοῦ θυγάτηρ ἐπαξίῳ
Δαμαιαντία προσεχῶς ἐκδίδοται νυμφίῳ
δι' ἐκλογῆς· οἱ δ' ἄνακτες καὶ νέοι βασιλέων
υἱοὶ χωροῦσιν ἰληδὸν ὡς θύλαμὸς ἱππέων

εἰς τὰ τοῦ Φίμου μέγαρα, λαβεῖν ἐπιθυμοῦντες
συμβίαν, ἅμα δ' ὄμμασιν ἰδεῖν ἐπιποθοῦντες
τὸ βασιλίδων ἄωτον»· ἀλλ' ἔτι τῶν ῥημάτων
ἀφιπταμένων ἀφανῶς, ἰδού, τῶν ἀθανάτων
οἱ κύδιστοι σὺν Ἄγνιδι τῷ τῶν ἐπουρανίων
ἐρισθενεῖ προσῄεσαν ἀγῷ μετ' ἐγκωμίων.
Παρ' ᾧ τὴν οὕτω θυμαρῆ μαθόντες ἀγγελίαν
«ἀμέσως» —ἀγαλλόμενοι— «καὶ κατ' εὐθυωρίαν»
—ἀλλήλοις εἶπον— «ἄγε, νῦν, ἐκεῖσε μεταβῶμεν,
τυχεῖν ἐκείνης ἵν' **αὐτοὶ** τοῦ λέχους πειραθῶμεν».
Εἰπόντες οὕτως ὥρμησαν εἰς τὴν ὁδὸν εὐθέως
εἰσαφικέσθ' ὡς οἷόν τε βουλόμενοι ταχέως.
Ἀφ' οὗ δὲ τὸν ἀπέραντον ἀστραπηδὸν αἰθέρα
ἐπεραιώθησαν ὁμοῦ καὶ τὸν ὑγρὸν ἀέρα
τὸν περὶ γῆν, ἰδού! λαμπρὸς ἐφαίνετο τηλόθεν
ἐπὶ χθονὶ φερόμενος ὁ Νάλος ἀλλαχόθεν.
Θεὸς ἐκείνοις ὁ κλεινὸς ἐφάνη σαρκοφόρος,
χωρῶν ὡσεί τις ἡγεμὼν ἐκ μάχης νικηφόρος!
περιλαμπὴς ὡς ἥλιος ἐθάμβησεν ἰδόντας,
ἐπὶ τῷ κάλλει ταραχὴν ἐν τῇ ψυχῇ παθόντας!
Αὐτίκα στήσας τὸ χρυσοῦν ὁ τῶν ἐπουρανίων
δυνάστης ἅρμα δι' ἐπῶν, ὁ Σάκρος, αἱμυλίων
«φιλάληθες» —ἐβόησεν— «υἱὲ τοῦ Βιρασένα,
τῶν ἐπιγείων ἄγγελον εὑρίσκομεν οὐδένα
ζητοῦντες οὕτως ἅρμενον. Ὀξὺς ἐπικουρίαν
ἡμῖν ἐν ὥρᾳ πάρεχε κομίζων ἀγγελίαν!

SISMANOGLIO MEGARO



## Γ

***Γάμμα*** θεῶν ἰότητι Νάλοι' ὁδὸν ἐς βασιλείης
δώματα χθὲς μιν ἰδοῦσ' εἵλετ' ἄνασσα πόσιν.

Τῇ τῶν θεῶν ὑπακοὴν ἐπιταγῇ τελείαν
ὁ Νάλος ὑποσχόμενος ἀμέσως καὶ μυχίαν
ἐμφαίνων ὁσιότητα μετὰ φωνῆς ἡδείας
τοῖς ἀθανάτοις ἔλεγε καὶ πλήρης εὐλαβείας:
«καὶ τίσιν οὖσιν ἔσομαι καὶ τίνος αἰθερίας
ὑμῖν ἐγὼ διάκτορος ἐντεῦθεν ἀγγελίας;
εἰς τίνα δέ με, κοίρανοι, προπέμπετε καὶ ποίαν
ἐπιτελέσω ποθεινὴν ὑμῖν ὑπηρεσίαν;»
«ἐσμέν, ὦ 'τᾶν, ἀθάνατοι, διὰ Δαμαιαντίαν»
—ὁ Σάκρος εἶπ'— «ἐρχόμενοι τὴν εἶδος ἐξαισίαν,
ἐγὼ μὲν Ἴνδρος, οὑτοσὶ δ' ἀγὸς ὁ τῶν ὑδάτων,
ὁ δ' Ἄγνις, ὅδε δ' Ἴαμος ὁ μέγας τῶν σωμάτων
λυτήρ, ὡς Ὑπερίονος ἀκίδες ἅμα πάντες
ἐξ οὐρανοῦ ῥιπῇ μιᾷ χαμᾶζε καταβάντες!
Νυνὶ δ' ἐλθὼν ἀνάγγελλε πρὸς τὴν Οὐιδαρφίαν
τὴν ἀληθῆ καὶ μύχιον ἡμῶν ἐπιθυμίαν,
***ἡμῶν*** εὐνέτην ἵν' ἑκοῦσ' ἐξέληται τὸν ἕνα
ἐπὶ θνητὸν ἰθύνασα τὰ βλέμματα μηδένα».
Πρὸς τοῦ θεοῦ τὰ ῥήματα μετὰ δεινῆς ἀνίας
ὁ Νάλος ἀπημείβετο μεστὸς ἀδημονίας:
«δυνάσται, μή με, δέομαι, κελεύετε τοιαῦτα,
μηδ' ἐπιθῆτε μοι ποινὴν ἢ βάρη τηλικαῦτα!
αὐτὴν ἐκείνην, ὦ θεοί, ποθῶν τὴν ἐρασμίαν
εἰς τὴν αὐλὴν ἐγὼ χωρῶ τοῦ Φίμου τὴν ὀλβίαν

καὶ τίς ἀνήρ, ἀθάνατοι, μετέχων διανοίας
ἀνακοινῶσαι δύναται σαφῶς μετ' ἀπαθείας
ὑπὲρ ἑτέρου γυναικὶ τοιαύτην ἀγγελίαν,
ἐν ᾧ φλεγμαίνει περισσῶς ἐκεῖνος τὴν καρδίαν;
ὦ! μή μοι, μεγαλώνυμοι, τοιοῦτον ἀναθῆτε
δακέθυμον ὑπούργημα μηδ' ἄστοργοι φανῆτε».
«Ὑπακοὴν ἀρχόμενος ὑπέσχου, μεγαλῆτορ»,
—ἐφώνουν ἀμειβόμενοι—«καὶ πῶς ἡμῖν, ἡγῆτορ,
νεανικῇ πειθόμενος ὁρμῇ παθῶν ἰδίᾳ
τῇ πρώτῃ μὴ συνᾴδοντα λαλεῖς ἐπαγγελίᾳ;
μετάβηθι καὶ τέλεσον, ἀμώμητε, ταχέως
ἐπαγγελίαν ἣν ἡμῖν ὑπέσχου νῦν ἡδέως».
Μετὰ πολλῆς τὸ δεύτερον ὁ Νάλος εὐσεβείας
«ἀλλ' ὅμως»—εἶπε—«μάκαρες, τὰ τῆς Οὐιδαρφίας
ἐπιμελῶς ὑπὸ φρουρῶν ἀνάκτορα φρουροῦνται
καὶ τηλεσκόποις ὄμμασιν αἱ πρόσοδοι τηροῦνται·
καὶ πῶς, ἡγέται κρατεροί, δυνήσομαι τὴν νέαν
ἡγεμονίδα προςιδεῖν ἐγὼ τὴν ἰσοθέαν;»
«δυνήσῃ Νάλε», τῶν θεῶν εἰπόντων, ἐπινεύσας
καὶ τὴν ἐπὶ τὰ Βίδαρφα πορείαν ἐπισπεύσας
εὐθέως εἰςαφίκετο, καὶ τῆς Δαμαιαντίας
τὴν θείαν εἶδε καλλονὴν ἐν μέσῳ τῆς χορείας
τῶν φίλων ἀπολάμπουσαν ἐξόχως νεανίδων
ὡς βασιλίδος μεταξὺ πολλῶν ἡγεμονίδων·
μεστὴν ἑώρα χάριτος ἐριαυγοῦς ἐκείνην
καθυπερβάλλουσαν αὐτὴν τῷ φέγγει τὴν σελήνην,
τῆς εὐανθοῦς νεότητος ἐμφαίνουσαν τὸ κάλλος,
οἷον ἰδεῖν εὐτύχησεν οὐδεὶς μερόπων ἄλλος,



εὐῶπιν, ἡδυμείλιχον, ἐριθηλῆ τὸ σῶμα,
καλλιμελῆ, καλλίχειρα, ῥοδοβαφῆ τὸ χρῶμα·
ὁρῶν δὲ τὴν ἐπήρατον ὁ Νάλος μειδιῶσαν
ἡδὺ καὶ μετὰ χάριτος ᾐσθάνετο πηδῶσαν
ὀξεῖ τὴν ἱμερότρωτον ὁρμήματι καρδίαν
καὶ τὴν φαιδρὰν ἀπέβαλλε προτέραν θυμηδίαν,
ἀλλ' ὅμως τὴν ὑπόσχεσιν τηρῶν μετ' εὐσεβείας
τὴν ἱερὰν ἀπέκρυπτε τὸ κῦμα τῆς καρδίας·
αἱ δ' εὐειδεῖς νεάνιδες γηθόμεναι τὸν νέον
Βιρασενάδην ἡγεμόν' ἰδοῦσαι τὸν ὡραῖον
ἀθρόαι συνεσκίρτησαν ἐκ τῶν ἑδρῶν εὐθέως
καὶ σιωπῇ θεώμεναι τὴν καλλονὴν ἡδέως
τὴν ἐξαισίαν ἔλεγον «ὢ χάρις! ὢ λαμπρότης!
ὢ νεανίου θαυμαστὴ γενναίου σταθερότης!
θεὸς ἢ δαίμων ὁ φανείς;» ἀλλ' ὅμως οὐδεμίαν
εἰπεῖν ἐκείνῳ γλυκερὰν ἐτόλμων ὁμιλίαν·
ἐξεστηκυῖα πρὸς αὐτὸν ἐν τέλει μειδιῶσα
ἡ βασιλὶς ἀπεύθυνε φωνὴν ἐρυθριῶσα:
«ὢ! πόθεν, ἄμαμε, καὶ τίς, ἡγέτα τῆς φρενός μου;
φανεὶς ἡμᾶς ἐθάμβησας ὡς κύριος τοῦ κόσμου;
καὶ πῶς, ἐπήρατε, λαθὼν τὰς φυλακὰς ῥαδίως
εἰςέδυς εἰς τὸ μέγαρον ἐνθάδε καὶ κρυφίως,
ἐν ᾧ καλῶς ὑπὸ πιστῶν αἱ πρόςοδοι φρουροῦνται,
καὶ τοῦ πατρὸς ἐπιμελῶς αἱ προςταγαὶ τελοῦνται;»
Ἐρωτοπλὴξ ὁ θαλερὸς καὶ κατανενυγμένος
ἐλάλει τῇ νεάνιδι διατεταραγμένος:
«ἀποσταλεὶς ὑπὸ θεῶν ἀρίστης ἀγγελίας
καὶ ζηλωτῆς εὐάγγελος ἐκεῖθεν εὐτυχίας

SISMANOGLIO MEGARO

τοῦ Βιρασένα, δέσποινα, προσέρχομαί σοι θάλος
τοῦ βασιλέως εὐλαβῶς, τὸ δ᾽ ὄνομά μοι Νάλος·
τῶν αἰθερίων τέσσαρες ὑψόθεν καταβάντες
Μαχάβας, Ἄγνις, Ἴαμος καὶ Βάρουνος, οἱ πάντες
περιπαθῶς ὁμόκοιτιν ἐπιθυμοῦσι λίαν
λαβεῖν σε, πανεπήρατε, τὴν ὑπεραιθερίαν!
Ἐκείνων ἕνα σεαυτῇ μεγακυδῆ νυμφίον,
θεασαμένη—πέποιθα—τορῶς ἐκ τοῦ πλησίον,
αἱρήσῃ, φίλη δέσποινα, τὸν ἔρωτα τιμῶσα
τῶν ἀθανάτων, ὡς εἰκός, κἀκείνων ἀντερῶσα·
αὐτῶν με νῦν ἐπιφανὴς ἡ παντοδυναμία
εἰσήγαγεν ἀκώλυτον ἐνθάδε, μακαρία!
ἐγὼ σοι τὴν αἰθέριον ἐκόμισ᾽ ἀγγελίαν,
αὐτὴ δ᾽ ἀσμένη τὴν ἐμὴν ἀσπάζου νουθεσίαν».

## Δ

**Δέλτα** Νάλοιο λιτὰς ἐνὶ δώμασι πόρτιος, ὄφρα
ἀνθ᾽ εὖ ἕλοιτο θεῶν ἄνδρ᾽ ἕν᾽ ἐπουρανίων.

Θεολατρείαν ἡ Φιμὶς ἡ συνετὴ βαθείας
ἀπὸ ψυχῆς τελέσασα μετὰ φωνῆς ἡδείας
καὶ μειδιάματος ἁγνοῦ τῷ Νάλῳ «συζυγίαν
**αὐτὸς** ἁρμόσας»—ἔλεγεν—«ἐμοὶ λαβὲ συμβίαν·
καὶ τί σοι κάλλιον ἐγὼ ποιεῖν ἐν ἀληθείᾳ
τῷ νεανίᾳ δύναμ᾽ ἢ συνῆφθαι συζυγίᾳ
σοὶ τῷ γλυκεῖ μοι τῆς ἠοῦς ἀνέκαθεν ὀνείρῳ,
ἐξ ὅτου συνελάλησα πτηνῷ δολιχοδείρῳ;

SISMANOGLIO MEGARO



ὑφ᾽ οὗ μοι τότε λαληθεὶς ἀνάπτει τὴν καρδίαν
ὁμήρης λόγος περὶ σοῦ καὶ πρὸς ἀμηχανίαν
ἄγει· νυνὶ δ᾽ εἰσάκουσον τὰ ῥήματά μου τάδε:
σοῦ μόνου χάριν, ἄμωμε, συνήγαγον ἐνθάδε
τοὺς βασιλεῖς· εἰ δὲ σὺ νῦν ἐμὲ περιφρονήσεις
καὶ μὴ τοῦ δώρου, δέσποτα, τοῦ γάμου κοινωνήσεις,
ἀγχόνη, νᾶμα, φάρμακον ἢ πῦρ θανατηφόρον
τῆς εἱμαρμένης ἔσται μοι τὸ τελευταῖον δῶρον»·
περιπαθῶς ὁ θαλερὸς τοὺς λόγους τῆς Φιμίδος
ἀκούσας καὶ μελίφρονος ἀνάπλεως ἐλπίδος
«ἀλλά, νεᾶνι, πῶς ἐν ᾧ θεοὺς ἐπουρανίους,
τῶν αἰθερίων ἄωτον, ἐρισθενεῖς καὶ δίους
τοῦ οὐρανοῦ δημιουργούς, ἐπόπτας ἀϊδίους
ἐκκαίεις»—εἶπεν—ἔρωτι, ζητεῖς ἐπιχθονίους
ὡς νῦν ἐμὲ τὸν ἀφανῆ, τὸν οὐδ᾽ ἁπλῇ κονίᾳ
τῶν ἀθανάτων, ὡς εἰκός, ποδῶν ἐν ἀληθείᾳ
ἰσοφαρίζειν ἱκανόν; ἀλλ᾽ εἴ τις ἀβουλίᾳ
τὰ τοῖς θεοῖς εὐάρεστα μὴ πράττοι, τιμωρία
τῇ τοῦ θανάτου δίδοται· διό, χαριεστάτη
παρθένε,—καὶ σοι τόδ᾽ ἐμοῦ παράκλησις ὑστάτη
—τὸν ἀτυχῆ μ᾽ ἀπόλυσον ἀπὸ δεινῶν μυρίων
ἐκλέγουσα τὸν σύζυγον ἐκ τῶν ἐπουρανίων·
ποιήσασ᾽ οὕτω καὶ πληθὺν ἐνδύσῃ φορεμάτων
χρυσοποικίλων, ἄνασσα, καὶ σύναμα στεμμάτων
ἀπὸ καλλίστων εἰσιδεῖν ἀνθέων ἀμαράντων
κοσμήσει σοι τὸ μέτωπον ἄξει τις ἀδαμάντων
ἐπουρανίων ὁρμαθός· ὦ! τίς ποτε καρδία
παρθενικὴ περιφρονεῖ, τὸν Ἄγνιν, ἐρασμία,

τὸν δι' ἑνὸς ῥοφήματος, εἰ βούλοιτο, καὶ μόνου
καταβροχθίζοντα τὴν γῆν ἐν ἀκαρεῖ τοῦ χρόνου;
ἢ τίς ποτε τὸν Ἴαμον, οὗ φόβῳ τὰ θηρία
τὸ δίκαιον ἀσπάζονται, περιφρονεῖ καρδία;
ἢ τίς νεᾶνις, ἐρατώ, τὸν μέγαν ἀρχηγέτην
τῶν ἀθανάτων ἑαυτῆς ἀθεῖται συνευνέτην,
τὸν Ἴνδρον, ὃς ἐπάταξε Δανάβους καὶ Δαιτίους
καὶ κραταιᾷ διακοσμεῖ χειρὶ τοὺς αἰθερίους;
διό μοι, πανεπήρατε, τὰ ῥήματα τοῦ φίλου
συνεπαινοῦσα γαμετὴ μνηστῆρος ἐπιζήλου
γενοῦ θνητῶν ἐκκλίνασα, φιλτάτη, τὸν αὐχένα
καὶ τῶν θεῶν ἐκλέγουσα τῶν ἀθανάτων ἕνα».
Μετὰ δακρύων θαλερῶν ἡ Δαμαϊαντία
πρὸς τὰ τοῦ Νάλου ῥήματα περίλυπος ἡ θεία
«τοὺς οὐρανίους»—ἔλεγεν—«ἐγώ, δυνάστα, πάντας
ἀσμένη προσκυνήσασα τοὺς ἄρτι καταβάντας
ἐμοῦ τῷ πόθῳ σέ, κλεινέ, τὸν ἐρατὸν αἱροῦμαι,
καὶ γηθομένη τοῦτο σοὶ σαφῶς ἀνακοινοῦμαι».
Συνεσταλμένην καὶ δειλὴν ὁρῶν τὴν ἐρασμίαν
ὁ νεανίας εὐμενῶς «καὶ πῶς ὑπηρεσίαν
ἀπλῆν»—ἀπήντα πρὸς αὐτὴν—«ἀγγέλου τοῖς ὑπάτοις
ἐπαγγειλάμενος θεοῖς ἐγώ, τοῖς ἀθανάτοις,
τολμήσω χάριν ἐμαυτοῦ τελέσαι τι, γενναία;
ὢ! φεῖσαι! φεῖσαι! δέομαι, τοῦ τλήμονος, ὦ νέα;
καθῆκον ἔστι νῦν ἐμοὶ τῷ θείῳ τηρητέον,
οὐ πρῶτον, ὡς ἐπέοικεν, οἰκέτῃ μελητέον·
κακὸς ὁ δοῦλος ὁ πρὶν ἢ τὸ ῥῆμα τοῦ κυρίου
τελέσῃ πρῶτον ἀγαθοῦ κηδόμενος ἰδίου»·

SISMANOGLIO MEGARO



τεταραγμένη τὴν φωνὴν ὑπὸ τῆς ἀγωνίας
«ἰδού σοι φάρμακον ἐγὼ δεινῆς ἀμηχανίας
ἐφεῦρον»—ἔλεγε—«δι' οὗ κατηγορίας πάσης
ἀπαλλαγήσῃ, βασιλεῦ!—ὁπόταν (ἐπιστάσης
τῆς ἀθανάτων καὶ θνητῶν ἐνθέσμου παρουσίας)
συμπαραστῇς ἐν τῇ σκηνῇ τῆς νυμφιαιρεσίας—
αὐτή σ' ἑλοῦμαι τότ' ἐγὼ νυμφίον, εὐδοκούντων
ἐπουρανίων καὶ βροτῶν καὶ συνεπευφημούντων».
Τοῖς τελευταίοις ῥήμασι θαρρῶν ὁ νεανίας
καὶ τῆς ἀπόρου καὶ δεινῆς λυθεὶς ἀμηχανίας
μετὰ σπουδῆς ἀνέδραμε πρὸς τὸ χωρίον, ὅθεν
ἐστάλη πρόσθεν ἄγγελος. Οἱ δὲ θεοὶ τηλόθεν
ἑώρων ἀγαλλόμενοι τὸν θεῖον νεανίαν
ἐπανιόντ' ἀελληδὸν ἀξεὶ λαμπρὸν Καικίαν.
Ἐλθόντι δ' «εἶδες»—ἔλεγον— «ὦ Νάλε! τὴν αἰτίαν
τῆς ἀχανοῦς ἡμῖν ὁδοῦ, κλεινὴν Δαμαιαντίαν;
ἐδέξατό σε πῶς αὐτή, μεγάθυμε, καὶ ποίαν
ἀποδοχὴν ἀπέφηνε πρὸς τὴν ὁμοζυγίαν»;
«ἀποσταλεὶς» — ἀπήντησεν — «εἰς τὰ τῆς βασιλίδος
ἀνάκτορ', ἃ φυλάττουσι φρουροὶ μετὰ φροντίδος
ἀτρύτου πολιότριχες, εἰςῆλθον ἀπ' εὐθείας,
ἀποσοβοῦντος οὐδενός, ἐπ' ἐντελοῦς ἀδείας
— τῇ παρ' ὑμῶν, ἀθάνατοι, συναρωγῷ προνοίᾳ
καὶ τῇ σοφῇ περὶ ἐμοῦ προδήλως ἐπινοίᾳ·
ὑπειςελθόντα δ' ἄνακτες, ἡ Δαμαϊαντία
καὶ νεανίδων σύναμα περικαλλὴς χορεία
ἰδοῦσαί μ' ἐξεπλάγησαν· ἀφ' οὗ δ' ἀφηγησάμην
τὸ γεγονὸς καὶ προςηνῶς περιεποιησάμην

τὴν βασιλίδ', ὡς ἦν εἰκός, αὐτὴ τεταραγμένη
***ἐμέ,*** θεοί, καλλίνικον ἀπέφηνεν ἀσμένη
εἰποῦσα: παρελθέτωσαν οἱ κύριοι τοῦ κόσμου,
οἱ ἐπουράνιοι θεοί, μετὰ τοῦ διακόσμου
τῶν ἀριζήλων ἡγετῶν εἰς τὴν αὐλὴν τοῦ Φίμου,
τοῦ γεραροῦ μοι καὶ σοφοῦ πατρός, τοῦ κυδαλίμου.
Ἐκεῖ δ' ἐγώ, τῶν ἀρχετῶν καὶ τῶν σοφῶν παρόντων,
καὶ μετὰ πόθου τὴν ἐμὴν φωνὴν ἀναμενόντων,
αἱρήσομαί σε σύζυγον, ἀμώμητ', οὐδεμίαν
αὐτῶν ἐχόντων ἐπὶ σὲ βαλεῖν κατηγορίαν».
Τοιαύτην, ἄνακτες, ὑμῖν ἡ Δαμαϊαντία
ἀπέδωκεν ἀπόκρισιν, ἡ κάλλος ἐξαισία.
Ἐγὼ μὲν ἐξεδήλωσα τὰ πάντα, τὸ δὲ πλέον
ὑμῖν ἀπόκειται, θεοί, τὸ πρόσω ποιητέον.

## Ε

**Ἔ φιλὸν** αἰθερίους εἰνὶ κλισίῃ παρεόντας,
ἧχι Νάλῳ πελάσσασ' εἷλετ' ἄνασσα πόσιν

Ἐν ᾧ δὲ τὴν χαρμόσυνον οἱ μέδοντες ἡμέραν
περιπαθῶς ἀνέμενον, ἐν ᾗ τὴν ἐλευθέραν
ἡ καλυκῶπις ἐκλογὴν ἡγεμονὶς νυμφίου
ἐπιτελέσαι θυμαροῦς ἐπιφανῶς ἠξίου,
ἰδού! ἐπέφαινεν αὐτὴν ἐκ τῶν ἐπουρανίων
ὁ τῆς νυκτὸς ἡδυφαὴς ἀστὴρ διὰ σημείων!
ἰδὼν δὲ τὴν ἐρόεσσαν ἐξ οὐρανοῦ σελήνην
ὁμοζυγίαν αἴσιον ὁ Φῖμος καὶ γαλήνην



τῇ χαριέσσῃ θυγατρὶ μηνύουσαν, εὐθέως
εἰς τὴν ὑψίποδα σκηνὴν τῆς ἐκλογῆς ἡδέως
ἐκάλει τοὺς ἡγήτορας. Οἱ δ' ἄσμενοι ταχέως
συνηκολούθουν τῇ βουλῇ τοῦ δίου βασιλέως·
ὡς οὖν ὁρμῶσι λέοντες ἐρίβρομοι πρὸς ὄρος,
ὡς ἐπανέρχετ' οὐλαμὸς ἐκ μάχης νικηφόρος,
διὰ χρυσῆς οἱ βασιλεῖς ἐκεῖσε τότε πύλης,
περικοσμήτου χάρισι διὰ γλυφῆς ποικίλης,
παρεμφερῶς εἰσῄεσαν ἁβρῶς κεκοσμημένοι
στολαῖς εἱμάτων ἀνθηραῖς, Ἱμέρῳ τετρωμένοι,
ποικιλανθεῖς ἐν τῇ χειρὶ στεφάνους αἰωροῦντες,
λιθολαμπῆ δ' ἐν τοῖς ὠσὶν ἐνώτια φοροῦντες·
ἐκεῖ δ' ἀπέλαμπε πληθὺς ὡραίων βραχιόνων,
τρυφερωτάτων καὶ λευκῶν, ἐν μέσῳ τῶν κιόνων
πολυδαιδάλων, ἀγλαῶν, ἐπιτετηδευμένων
ἐπιμελῶς ἀπὸ χρυσοῦ καὶ μεταρσιουμένων,
καὶ πρόσωπα χαρίεντα δι' εὐειδῶν ὀμμάτων
ἠγλαϊσμένα καὶ κομῶν, ὀφρύων καὶ στομάτων
ἀζεὶ φωστῆρες ἔστιλβον ἐν τῇ σκηνῇ κυκλόθεν
καὶ τῶν ὁρώντων εἷλκυον τὸ βλέμμα πανταχόθεν.
Προσῆλθε τέλος ἐμμελῶς ἡ Δαμαϊαντία
τῶν ἡγεμόνων τῷ χορῷ καθάπερ αἰθερία,
τῶν ἡγετῶν ἀνάπτουσα τῷ κάλλει τὰς καρδίας,
εἰς ταραχὴν ἐμβάλλουσα ψυχὰς καὶ διανοίας.
Ἐν τούτοις ἐναρμόνιος ἀντήχει μελῳδία
ἐν τῇ σκηνῇ καὶ τῶν κυδρῶν ἀνάκτων ὑμνῳδία·
ἡ δὲ Φιμὶς ὑπ' ἔρωτος ἀπλέτου φλεγομένη
τὸν ἐρατὸν τοῖς ὄμμασιν ἐζήτει σκοπουμένη.



SISMANOGLIO

Ἐν ᾧ δὲ περιέστρεφε περιπαθῶς τὸ βλέμμα
τοῦ Βιρασένα τὸ κλεινὸν ἀναζητοῦσα θρέμμα,
κατεῖδε πέντε βασιλεῖς ὑπερφυῶς ὁμοίους,
ἀρίστους εἶδος, ἐκπρεπεῖς τὸ κάλλος, αἰθερίους!
Ἐκείνων — ὤ! — πρὸς ὅντινα κατηύθυνε τὸ βλέμμα
τὸ ποθεινὸν ἐνόμιζε τοῦ Βιρασένα θρέμμα!
Ἡ καλυκῶπις εἰς αἰνὴν ἐκεῖθεν ἀθυμίαν
περιελθοῦσα καὶ δεινὴν οὐχ ἧσσον ἀπορίαν·
σημείῳ τίνι τοὺς θεοὺς ἢ τίνι τὸν ὡραῖον
τῶν Νισαθίων ἄνακτα, τὸν οἱονεὶ μοιραῖον
διαγινώσκειν ἔσοιτο μνηστῆρα, προστασίαν
ἐκ τῶν θεῶν ᾐτήσατο καὶ τούτοις ἱκεσίαν
μετὰ θερμῶν ἀνέπεμπε δακρύων ἡ ἐρῶσα
τεταραγμένῃ τῇ φωνῇ, βαρυπενθὲς ὁρῶσα·
«ὡς ἤδη πρὶν ἐγὼ πτηνοῦ θεόθεν ὁμιλίαν
ἀκούσασα παρέδωκα τῷ Νάλῳ τὴν καρδίαν,
τὴν δ' αἵρεσιν οὐδέποτε τὴν τότε γενομένην
ἠθέτησ', ἀλλ' ἐτήρησα πιστῶς ἀποκειμένην
ἐν τῇ ψυχῇ, καὶ νῦν ὑμεῖς τὰ θρυλητὰ σημεῖα
δηλώσαντες, ἀθάνατοι, τὰ φαεινὰ καὶ θεῖα,
τὸν ἐρατόν μοι δείξατε νεᾶνα μετ' εὐνοίας
καὶ τῆς παρούσης λύσατε δεινῆς ἀμηχανίας».
Τῆς ἀγλαᾶς τοὺς ὀδυρμοὺς οἱ μάκαρες ἰδόντες
καὶ τὴν ἐνδόμυχον βουλὴν αὐτίκα διαγνόντες,
τὴν ἔξοχον ἁγνότητα, τὸ πῦρ τὸ τῆς καρδίας,
τὸν θυμοβόρον ἔρωτα, τὸ φῶς τῆς διανοίας,
ἐπιφανῶς εἰσήκουσαν αὐτῆς τὴν ἱκεσίαν
καὶ τὴν ἰδίαν ἔδειξαν ἀμέσως παρουσίαν·

SISMANOGLIO MEGARO



μετάρσιοι παρίσταντο, θεοπρεπῶς αἰδοῖοι,
ἀνίδρωτοι καὶ ἄσκιοι καὶ παντελῶς ἀλλοῖοι!
ἀνθέων ὅρμους εὐθαλεῖς καὶ ζωηροὺς φοροῦντες,
τὴν τῶν ὀμμάτων ἐμβολὴν ἀκίνητον τηροῦντες·
ὁ δ' ἄναξ εἶτα παρ' αὐτοῖς ἐπίσκιος ὁ νέος
ἐφάνη νεύων ἔραζε, σεμνὸς καὶ δειμαλέος,
μετὰ στεμμάτων χαλαρῶν, ἱδρῶτι μυδαλέος,
ὠχρός, αἱδήμαγ, ἐπὶ γῆς ἑστώς, κονισαλέος.
Ἡ νέα τότε τοὺς θεοὺς αὐτίκα διαγνοῦσα
καὶ παρ' ἐκείνοις ἐναργῶς τὸν φίλτατον ἰδοῦσα
πρὸς τοῦτον ἔδραμε γοργῷ τῷ βήματι πλησίον
καὶ τοῦτον ᾑρετίσατο περιφανῶς νυμφίον,
τοῦ ἱματίου μετ' αἰδοῦς τὸ κράσπεδον ἑλοῦσα
καὶ στέμμα πάγκαλον αὐτοῦ σεμνῶς ἐπιβαλοῦσα
τοῖς ὤμοις ἀνθοποίκιλον. Ἀμέσως εὐφημίαι
«ὤ! εὖγε! εὖγε!» πάντοθεν ἠκούοντο μυρίαι
παρ' αἰθερίων καὶ βροτῶν, ἡδέως εὐλογούντων
ἀπὸ σπουδῆς τὸν ἥρωα, κροτούντων, ἐπαινούντων.
Ὁρῶν δὲ τὴν ἑλίκωπα μεστὴν εὐδαιμονίας
περιχαρὴς ὁ θαλερὸς καὶ δῖος νεανίας
παρεμυθήσατο φωνῶν «ἀφ' οὗ τῶν αἰθερίων
ἐμὲ τὸν ἐπιχθόνιον ἐπίπροσθε κυρίων
ἐτίμησας, γενήσομαι τῷ σῷ, Δαμαιαντία,
ἡδίστῳ ῥήματι πιστός· οὐδέποτ' ἐναντία
πνοὴ ταράξει τὴν ἐμὴν ὁμόπτερον εὐδίαν,
ἐφ' ὅσον αἷμά μοι χλωρὸν ἀρδεύει τὴν καρδίαν».
Ἀφ' οὗ τοιαύτην ἔδωκε σαφῆ παραμυθίαν
τῇ γλυκερᾷ τὴν δεξιὰν λαβὼν εἰς τὴν ἰδίαν,

ἀμφότεροι γηθόσυνοι ψυχῇ καὶ διανοίᾳ
τῇ τῶν μακάρων ἑαυτοὺς ἀνέθεσαν εὐνοίᾳ.
Οἱ δὲ θεοὶ δωρήματα τῷ θαλερῷ νυμφίῳ
ὀκτὼ πορόντες ἔξοχα προσώπῳ μειλιχίῳ,
(πυρὸς ὁ μέν, ὁ δ' ὕδατος, εἰ θέλοι, παρουσίαν,
ὁ δ' ἐμπυροσκοπίαν τε καὶ θυμαρῆ πορείαν,
ὁ δ' ἀρετὴν ὑπέροχον καὶ γεῦσιν ἐξαισίαν,
ὁ δ' ἄρα κόσμους ἔχοντας μαρμαρυγὴν ἰδίαν),
τοσαῦτα τῷ χαρίεντι Βιρασενάδῃ δόντες
ἐκ τῶν οἰκείων ἕκαστος, ὁμοῦ δὲ παρασχόντες
θαλέων ζεῦγος ἀγλαόν, εἰς οὐρανοὺς εὐθέως
ἀπῆλθον ἐνθυμούμενοι τὸ γεγονὸς ἡδέως.
Τῶν ἡγεμόνων ὕστερον ἐπ' ἴσης ἀπελθόντων,
περιχαρῶς ὁ κοίρανος, ἐπιφανῶν παρόντων,
τοὺς ὑμεναίους ἔδαισε τῆς κόρης καὶ τοῦ Νάλου,
χοροῦ τὸν οἶκον ἔχοντος ὑπὸ χαρᾶς μεγάλου.
Ἀφ' οὗ δ' ἐκεῖ διέμεινεν ὁ Νάλος ἐπὶ χρόνον
οὐχὶ βραχύν, ἀνέδραμεν εἰς τὸν οἰκεῖον θρόνον
περιχαρὴς ὡς ἥλιος μετὰ τῆς εὐνετείρας
τῶν ὑπηκόων, ὡς εἰκός, τὸ φίλτρον ἐξεγείρας,
καὶ συνεχῶς ἐτέρπετο μετὰ Δαμαιαντίας
τῆς ἐρατῆς ἐν ἄλσεσι μεστὸς εὐδαιμονίας·
ἐκείνη δ' ἔτεκεν υἱὸν Ἰνδράσενον ὁσίως
καὶ θυγατέρ' ὁμώνυμον, ὡραίους ἐξαισίως.

© SISMANOGLIO MEGARO



## Ζ

**Ζῆτα** θεοῖν, Κάλεω, μῆνιν, καὶ Δουαπάροιο
ὅττι θεοῦ κούρη πρόσθεν ἔθηκε Νάλον.

Μετὰ τοὺς γάμους οἱ θεοὶ τοῦ Νάλου τοὺς αἰσίους
ἀριπρεπῶς ἀνήρχοντο πρὸς τοὺς ἐπουρανίους,
ὅτ' αἴφνης ὁ Δουάπαρος καὶ σύνοδος ὁ Κάλης,
οἱ δαίμονες, κατήρχοντο μετὰ σπουδῆς μεγάλης·
«εἰπέ μοι, ποῖ πορεύεσθε» τὸν δεύτερον ὁ Σάκρος
ἠρώτησ', ὁ δ' ἀπήντησεν, ὁ τῶν δαιμόνων ἄκρος
«τὴν ἐλευθέραν ἐκλογὴν τῆς ἐρατῆς Φιμίδος
μαθὼν ἐκεῖσ' ἀπέρχομαι ποθῇ τῆς βασιλίδος,
ὑπ' ἔρωτος αἰθόμενος ἀπλέτου τὴν καρδίαν·
αἱρήσεταί μ', ἀθάνατοι! γυναῖκα κουριδίαν
ἐκείνην ἔξω»· μειδιῶν «ὦ! πρὸ στιγμῆς ὁ Νάλος
ἐπηξιώθη, τὸ κλεινὸν τοῦ Βιρασένα θάλος,
τοῦ γέρως»—ἔλεγε σαφῶς ὁ Σάκρος—«ὑπ' ἐκείνης».
Εὐθὺς ἀκούσας ὑπ' ὀργῆς ἐφλέγετο πυρίνης
ὁ Κάλης· εἶπε δ' ὕστερον, ἐκείνων ἀκουόντων,
«ἀφ' οὗ θνητὸν ἐπίπροσθεν ἐτίμησε μεδόντων
ἐπουρανίων, ὦ θεοί! δικαία τιμωρίας
ἐστὶ τυγχάνειν, ὑπ' ἐμοῦ»· «καὶ τίνος ἀδικίας»
—ὁ Σάκρος εἶπ'— «ἐγένετο δημιουργὸς ἡ νέα
ἡ συνετή, χαρίεσσα, καὶ κάλλει ζηλωτέα,
ἣ συναινέσει τῶν θεῶν ἐξείλετο τὸν νέον
τῶν Νισαθίων ἄνακτα, τὸν ὄντως ἐραστέον·
καὶ τίς ποτε νοῦν ἔχουσα, θεέ, τῶν Νισαθίων
τὸν ἡγεμόνα σύζυγον νεᾶνις ἐκ μυρίων

οὐκ ἂν ἐξεῖλετ', ἀρεταῖς ἐξόχως ἠσκημένον
ἁπάσαις καὶ τοῖς ἤθεσι καλῶς κατηρτυμένον,
ἐξηγητὴν τῶν Οὐεδῶν, ἐν οὗ τοῖς βασιλείοις
ἀδιαλείπτως οἱ θεοὶ τιμώμεθ' ἱερείοις,
τὸν φιλαλήθη, δίκαιον, ἐπιεικῆ τοὺς τρόπους,
ἁγνόν, ἀνδρεῖον, εὐμενῆ πρὸς ἅπαντας ἀνθρώπους,
σοφὸν καὶ μεγαλόδωρον, ἀνεκτικόν, αἱμύλον,
περὶ τὸ θεῖον εὐσεβῆ, τῆς ἐγκρατείας φίλον·
τοιοῦτον ἥρωα, θεέ! τῆς ἀρετῆς εἰκόνα
τοῖς ἀθανάτοις ὅμοιον ἀνθρώπων ἡγεμόνα,
ὁ καταράσασθαι τολμῶν αὐτὸς ἀρᾷ δεθήτω
κ' ἐξ ἑαυτοῦ πρὸς ὄλεθρον αὐτὸς παραδοθήτω,
κεἰς βορβορώδη τάρταρον ὁ φαῦλος ἐμμιγήτω
κεἰς τέναγος ἀπέραντον ἰλύος ἐμπαγήτω».
πρὸς ἀμφοτέρους ὁ θεὸς τοῦ οὐρανοῦ δριμέως
λαλήσας οὕτω τοὺς θεοὺς παρέλαβε ταχέως
τοὺς αἰθερίους ὁμαλῇ κεἰς οὐρανὸν ἐχώρει
καὶ τοὺς ἀπείρους ἀνιὼν ἀστέρας ἐθεώρει.
'Αφ' οὗ δ' ἀπῆλθον, ὑπ' ὀργῆς ἐχόμενος μεγάλης
πρὸς τὸν ἑταῖρον ἔλεγε περίλυπος ὁ Κάλης:
«καταδροσίσαι, φίλτατε, τὸ πῦρ τὸ τῆς καρδίας
ἀδυνατῶ, Δουάπαρε! διὸ τῆς βασιλείας
ἀποστερήσω τάχιστα καὶ τῆς Δαμαιαντίας
ὁμοῦ τὸν Νάλον ἐμβαλὼν εἰς τύχας ἐναντίας.
Καὶ σύ, Δουάπαρ', εἰςελθὼν ἐντὸς τῶν ἀστραγάλων
ἐπινοιῶν εἰς ἄνυσιν βοήθει μοι μεγάλων.



## Η

*Ἦτα* Νάλοιο κύβοισι κασιγνήτοιο τ' ἄεθλον
ἀμφ' ἐσθλῶν τιμῆς τ' ἔξοχα κοιρανίης.

Μεθ' ἣν ὁ Κάλης οὕτω δὴ συνῆψε συμφωνίαν
εἰςῆλθεν εἰς τὰ Νίσαθα δοκεύων εὐκαιρίαν.
'Αφ' οὗ δὲ περιέμεινεν ἐπὶ μακρόν, αἰτίαν
μετὰ δισσὴν ἐτῶν ἑξὰδ' ἐπέλαβε καιρίαν·
ὑγρὸν πατήσας ἔκκριμα πρὸ νίψεως ὁσίας
ποδῶν ἐτέλεσεν εὐχὴν ὁ Νάλος· ἀπ' εὐθείας
ὁ δαίμων ἔσχε νῦν αὐτὸν καὶ σύναμα Πουσκάρῳ,
τοῦ βασιλέως ἀδελφῷ, φανεὶς ἐν τῷ μεγάρῳ
«ἰδοὺ! καιρός!» —ὑπέβαλε— «μετάβηθι ταχέως
εἰς τὰ τοῦ Νάλου, Πούσκαρε, καὶ παῖζε θαρραλέως
τοὺς ἀστραγάλους· ὄλβιος γενήσῃ τὴν ἐκείνου
λαβὼν οὐσίαν καὶ τιμήν. 'Αμέσως οὖν ἐντείνου
καὶ τὸ ῥηθὲν ἐκτέλεσον». Ὁ Πούσκαρος εὐθέως
εἰς τὰ τοῦ Νάλου μεταβὰς ἐτέλεσεν ἠδέως
τὸ λαληθέν, ἐν ᾗ μορφὴν ἀναλαβὼν ταυρείαν
ὁ δαίμων ἔστη παρ' αὐτῷ παρέχων εὐθαρσίαν.
Ὁ δ' ἥρως ἐκκαλούμενος ἐπὶ πολὺ συντόνως
καὶ μὴ δυνάμενος αὐτὸς ἀποφυγεῖν ἐμμόνως
τὴν ἔκκλησιν, ἐνόμισεν ἐλθοῦσαν εὐκαιρίαν,
θεάμον' ἔχων ἵν' αὐτοῦ τὴν εὐειδῆ συμβίαν
ἀστραγαλίζῃ καθεξῆς περὶ χρυσοῦ, κτημάτων,
ἁρμάτων, ἵππων εὐγενῶν, περιβολῆς, χρημάτων
παντοδαπῶν, ἀναλαβὼν τὸν ἔσχατον ἀγῶνα
μηδὲ τὸν ὕστατον αὐτῷ σωζόμενος χιτῶνα.

'Αλλ' ἐκ τῆς ἄγαν ἀπηνοῦς τοῦ Κάλου τυραννίας
ἡττώμενον, ὑπὸ δεινῆς ἀστραγαλομανίας
φρενιτιῶντα σοβαρῶς οὐδεὶς ἐκ τῶν οἰκείων
ἢ φίλων ἴσχυεν αὐτὸν ἀπὸ τῶν ὀλεθρίων
ἐξαπολῦσαι καὶ δεινῶν ἐπακολουθημάτων
οὐδὲ τῶν ἄγαν ἐπισχεῖν ὀλισθηρῶν βημάτων·
διὸ πολῖται πάμπολλοι καὶ σύμβουλοι βαρέως
τὰ γεγονότα φέροντες εἰς τὰ τοῦ βασιλέως
συνῆλθον, ὅπως ἴδωσι τὸν ἄνακτα νοσοῦντα,
κεἰ δυνατόν, ἐπίσχωσιν ἀστραγαλομανοῦντα·
τοῦ δ' ἡνιόχου τοῦτ' εὐθὺς ἀγγείλαντος, ἡ θεία
καὶ καλυκῶπις βασιλίς, ἡ Δαμαϊαντία,
μετὰ φωνῆς δακρυμιγοῦς ἐκείνῳ προσελθοῦσα
«ἡ πόλις» —εἶπε— «βασιλεῦ, ἀθρόα συνδραμοῦσα
καὶ σὺν αὐτοῖς οἱ σύμβουλοι μετ' ἀλγεινῆς καρδίας
ἐκθύμως ἀναμένουσι τὰς σὰς ἐπιθυμίας
πρὸ τῶν θυρῶν ἱστάμενοι». Τοιάδ' ἀνακοινούσῃ
τῇ βασιλίδι καὶ θερμῶς ἐπαναλαμβανούσῃ
οὐδὲν ὑπὸ τοῦ δαίμονος ἀπήντησεν ὁ τάλας,
ζημίας ὑφιστάμενος ἐνδελεχῶς μεγάλας·
ἀπῆλθον ὅθεν ἅπαντες «ἀπώλετ'» ἐπειπόντες
περιαλγεῖς, ὁλοσχερῶς ἐκεῖνον ἀπογνόντες.
'Εν τῇ μακρᾷ δ' ὁ κοίρανος ἐκ τούτου συνεχείᾳ
τῶν ἀστραγάλων ἀτειρεῖ συνείχετο ζημίᾳ.

SISMANOGLIO MEGARO



## Θ

**Θῆτ'** ἐνέπει θάλε' ὦ ὡς ἐς γενέτειν Δαμεάντις
δυσκυδέονθ' ἥρω πέμψ' ὀρόωσα πόσιν.

'Ιδοῦσα τέλος ἡ Φιμὶς παράφρονα τὸν νέον
εὐνέτην, ἐλογίζετο σαφῶς τὸ ποιητέον.
'Ορῶσα δ' ἀπολέσαντα τὴν σύμπασαν οὐσίαν
καὶ τὴν ἐπίζηλον αὐτὴν ἀφρόνως ἐξουσίαν
τῇ τῶν φιλτάτων συνετῇ, μετακαλεσαμένη,
τῇ Βριχαζένῃ τοὔνομα τροφῷ, λελυπημένη
μετὰ δακρύων ἔλεγε «μετάβηθι ταχέως
καὶ τοὺς συμβούλους ὑψηλῇ βουλῇ τοῦ βασιλέως
ἐνθάδε μετακάλεσον εἰποῦσα τὴν αἰτίαν
καὶ φρούδην οὖσαν ἄγγειλον τοῦ Νάλου τὴν οὐσίαν».
'Εκεῖνοι δ' ἅμα τῇ φωνῇ προσέδραμον εὐθέως
τῷ ῥήματι πειθόμενοι τοῦ μέδοντος ἡδέως,
καὶ τὸ ὑπήκοον ὁμοῦ συνέδραμ' ἐπαλλήλως,
ἀφ' οὗ τὸ μέγα γεγονὸς ἐγνώσθη περιδήλως.
ἀλλ' ἀκοῆς οὐδεμιᾶς ὁ κοίρανος ἠξίου
τοὺς εἰσιόντας! ὁ δεινὸς ἐκεῖνον ἐφυσίου
καὶ παναμείλιχος ἐχθρὸς ἀπώλειαν ὑπάτην
ἐξεργαζόμενος αὐτῷ καὶ λώβην βαρυτάτην.
Θεασαμένη τοῦ δεινοῦ τἀνήκεστον ἡ νέα
τὴν ἀγαθὴν ἐκάλεσε τροφόν, ἡ πενθαλέα,
καὶ «στεῖλον» —εἶπε— «Βάρσινον αὐτίκα μεταβᾶσα
ἐνθάδε τὸν ἡνίοχον· ἐστὶν ἀνάγκη πᾶσα».
'Ελθόντι δ' ἔλεγεν αὐτῷ μετὰ βραχὺ πρᾳέως
ἡ βασιλὶς «ἡνίοχε! τοῦ δίου βασιλέως

γινώσκεις οἷα τίς ἐστιν ἡ περὶ σὲ φιλία·
προςενεκτέα σοι τὸ νῦν ἐκείνῳ προθυμία
κατεχομένῳ σοβαρῶς ἐκ παγνιομανίας
καὶ γυμνουμένῳ τῆς ἀρχῆς καὶ τῆς εὐδαιμονιας.
Ἐκ τῆς ἀφράστου συμφορᾶς, ἀπίστως ἐμπεσούσης,
πρὸς σὲ νυνὶ κατέφυγον· εἰςάκουε λεγούσης:
ἡ τεθλιμμένη μοι ψυχὴ παντάπασι στερεῖται
παραψυχῆς καὶ δή ποτε βεβαίως ἀπολεῖται·
διό μοι ζεῦξον ἅρματι τοῦ Νάλου τοὺς ἀρίστους
ὑψήχεις ἵππους ὥς τε ῥῆμ' ἢ νόημα ταχίστους,
καὶ τῶν φιλτάτων ὀτρηρῶς ἀναλαβὼν θαλέων
τὸ ζεῦγος εἰς τὰ Κούνδινα, τῶν γεραρῶν γονέων
μετάγαγε τὰ μέγαρα· καὶ τοῦτο μὲν εὐθέως
τῆς γενετείρας τῇ χειρί, τὰ δὲ τοῦ βασιλέως
τοῖς ὑπηρέταις παραδοὺς κατοίκει μετ' ἐκείνων
ἢ παρ' ἑτέρῳ, τοῖς καιροῖς, ᾗ δέον, ὑποτείνων.
Τὴν συνετὴν ἐπιμελῶς βουλὴν τῆς βασιλίδος
ἀκούσας ὁ ἡνίοχος εὐθὺς μετὰ φροντίδος
ἐδήλωσε τοῖς ἄρχουσιν. Ἐκείνων δὲ μαθόντων
καὶ τοῖς ἰδίοις λογισμοῖς ὁμόρροθον εὑρόντων,
ἀναλαβὼν μεθ' ἑαυτοῦ τὸ ζεῦγος τῶν παιδίων
ὀξὺς ἐπὶ τὸ ὄχημα, τοῖς ἵπποις ἐπισείων
τὴν μάστιγα πρὸς Κούνδινα διήλασε ταχέως.
Ἀφ' οὗ δ' ἐκεῖ τῇ δεξιᾷ τοῦ δίου βασιλέως
τῆς θυγατρὸς παρέδωκε τὰ τέκνα, κατ' ἰδίαν
μετὰ σπουδῆς ἐχώρησε πρὸς τὴν Ἀϊοδίαν,
τὴν πόλιν, ἔνθ' ὁ κοίρανος αὐτὸν εἰς τὴν ἰδίαν
ἐπὶ μισθῷ κατέστησεν εὐθὺς ἡνιοχίαν·

SISMANOGLIO MEGARO



I

Αὐτὰρ **Ἰῶτ'** ἀλόχῳ συνιόντος ἄνακτος ὀϊζὺν
εἰνὶ νάπεσσ', ἐσθῆτ' ἔνθ' ὄλεσ' ἣν ἔχ' Ἰαν.

Τοῦ θαλεροῦ μετ' οὐ πολὺ δυνάστου τὴν οὐσίαν
ὁ ἀδελφὸς καὶ σύναμα τὴν ὅλην ἐξουσίαν
ἐξαφελὼν καὶ κύριος γενόμενος, τῷ Νάλῳ
προςμειδιῶν ἐπέλεγε τῷ τῇ ψυχῇ μεγάλῳ
«χωρείτω πρόσω, φίλτατε, τὸ παίγνιον· ἀλλ' ὅμως
οὐδέν σοι νῦν ὑπόλοιπον. Εἰρήσθω δ' ἐπιτόμως:
ἡ γλυκερά σοι λέλειπται Δαμαιαντία μόνη
ὡς ὑπ' ἀνέμου δονηθεῖσ' ὀξέος ἀνεμώνη!
Ἐκείνην, ἥρως! ἄγε δή! τῷ νικητῇ βραβεῖον
εἰς τὸν ἀγῶνα πρόςαγε καὶ νίκης ἀριστεῖον!
Ἀκούσας ὁ Νισάδιος ἐτρώθη τὴν καρδίαν
δεινῶς, ἀλλ' ὅμως ἐπ' αὐτὸν ἀφῆκεν οὐδεμίαν
φωνήν, ἀλλὰ βαρύθυμος ἐν ἐλαχίστῳ χρόνῳ
τὸ κόσμημ' ἐκδυσάμενος τοῦ σώματος καὶ μόνῳ
κεκαλυμμένος ὁ κλεινὸς χιτῶνι, τὴν οὐσιαν
ἀποβαλὼν ἐξέλιπε τὴν πόλιν κατ' ἰδίαν,
τῆς βασιλίδος ἅμ' αὐτῷ καὶ μόνης ἑπομένης
ἀσίτου μονοχίτωνος· μεθ' ἧς ὀδυρομένης
ἐν ἄλσεσι τρινύκτιον ἐκτός, ἐν ἐρημίᾳ,
διῆγεν ὑδατότροφος, ἐσχάτῃ βουλιμίᾳ
καρποὺς καὶ ῥίζας τῶν φυτῶν σιτούμενος, οὐδένα
εὑρὼν ἑταῖρον ὁ κλεινὸς υἱὸς τοῦ Βιρασένα!
οὐδεὶς ἐτόλμα τῶν ἀστῶν, οἰκείων ἢ γνωρίμων,
ἐλάχιστόν τι παρασχεῖν ἐκείνοις ἐδωδίμων

ἐπ' ἀρωγῇ, φοβούμενος τὴν ἀπειλὴν τοῦ νέου
δυνάστου καὶ διάταγμα σαφὲς τοῦ δειμαλέου,
ἐπαπειλοῦν ἀπώλειαν ἑκάστῳ παρασχόντι
ἠνδηποτοῦν ἐπαρωγὴν ἐκείνῳ καὶ συνόντι.
Μετὰ τριήμερον ἐκεῖ διατριβὴν ὁ Νάλος,
τὸ θαλερόν, ἀλλ' ἀτυχὲς τοῦ Βιρασένα θάλος,
ἐχώρει πρὸς τὴν ἔρημον μετὰ Δαμαιαντίας
τῆς ἀπτοήτου πρὸς ὁρμὰς τῆς Τύχης ἐναντίας.
Ἐκεῖ δ' ἐχόμενος λιμῷ μετὰ πολλὰς ἡμέρας
ἐπίχρυσ' εἶδέ που πτηνὰ λιπόντα τοὺς αἰθέρας.
«Τροφή μοι τάδε σήμερον» εἰπὼν τῇ βασιλίδι
ἐκάλυψ' ἥπερ ἔφερεν ἐπ' ὤμων ἐφεστρίδι
τὰ χρυσοπτέρυγα. Τὰ δὲ συνάραντ' ἀπ' εὐθείας
εἰς τὸν ἀέρα τὴν ἐσθῆτ' ὑπὸ χαρᾶς βαθείας
οἰκτρῷ, γυμνῷ καὶ τλήμονι τῷ βασιλεῖ κροτοῦντα
ἐν ἁρμονίᾳ τὰ πτερὰ προσηνῶν, αἰωροῦντα
τὴν ἐφεστρίδ' «ἠλίθιε, τροφήν σοι πενομένῳ
καὶ θησαυρὸν πανενδεεῖ καὶ περιπλανωμένῳ
ὁ δύσμοιρος ἐνόμισας ἡμᾶς τοὺς ἀστραγάλους
ἰδὼν ἐνθάδε πτερωτοὺς ὡραίους καὶ μεγάλους,
ἐν ᾧ σ' ὁρᾷν μὴ φέροντες ἡμεῖς ἐνδεδυμένον
ἐσθῆτ', ἀλλὰ βουλόμενοι γυμνόν, ἐστερημένον
καὶ τῆς ὑστάτης, ἄθλιε, περιβολῆς ἐνθάδε
πρὸς ἁρπαγὴν κατέπτημεν ἐκείνης τηνικάδε».
Τοὺς ἀστραγάλους νῦν ὁρῶν ὁ Νάλος ἱπταμένους
εἰς αἰθερόνομα πτηνὰ μεταμεμορφωμένους,
εἰς ἀπορίαν ἐμπεσὼν ἐφώνει τῇ συμβίᾳ:
«δι' οὓς ἐγὼ συνέχομαι, φιλτάτη, βουλιμίᾳ



δεινῇ καὶ δόξης καὶ τιμῆς καὶ τῆς ἡγεμονίας
συλλήβδην ἀπεστέρημαι καὶ τῆς φιλοξενίας
αὐτῆς ἁπλῶς, αὐτοί με νῦν μεταμεμορφωμένοι
καὶ τὸν χιτῶν' ἀφῄρεσαν αὐτόν, γεγενημένοι
πτηνά. διὸ περιελθὼν εἰς ἄκραν ἀπορίαν
τοιάνδε σοι σωτήριον παρέχομ' ὁδηγίαν:
Ἐντεῦθεν ἄγουσιν ὁδοὶ πολλαὶ πρὸς μεσημβρίαν
Ῥιξάβαντα τὸν εὔυλον αἱ δὲ τὸν Ἀβαντίαν
διαπερῶσαι ποταμόν, καὶ τόδε μὲν τὸ ὄρος
ἐστὶ τὸ μέγ' ὁ Βίνθυος, ἐκεῖ δ' ἐστὶν ὁ πόρος
τοῦ ποταμοῦ Παιόννιδος, ἐκεῖ δὲ φιλερήμων
εἰσὶ σοφῶν οἰκήματα μονήρη διασήμων
καρπῶν τε πλήρη καὶ ῥιζῶν. Εἰς Βιδαρφίαν ἄγει
ἡ μία τῶνδε τῶν ὁδῶν, ἡ δ' ἔμπαλιν εἰσάγει
εἰς Κωσαλίαν. Ἔτι δὲ χωρήσας ἀπωτέρω
τῶν ῥηθεισῶν εὑρήσει τις ὀλίγῳ προσωτέρω
τὴν χώραν, ἥτις ᾄδεται Μεσημβρινή, ῥᾳδίως.
Τοιαῦτα πρὸς τὴν ἄκοιτιν ὁ κοίρανος οἰκείως
εἰπὼν ἐδείκνυ τὰς ὁδούς· ἡ δὲ τῷ Νισαθίῳ
διὰ φωνῆς δακρυμιγοῦς ἐλάλει. τῷ συμβίῳ:
«τὰ μέλη μοι μαραίνονται καὶ τρέμει ἡ καρδία,
ἡ δ' ἐλαχίστη λείπει με φυγοῦσα θυμηδία,
ἐν ᾧ διαλογίζομαι τὰ κατὰ σέ, δυνάστα,
καὶ βίον οἷον ἐφεξῆς βιώσῃ, μετανάστα!
καὶ πῶς ἐγώ, πολύδακρυ, λιποῦσα σ' ἐν ἐρήμῳ
δρυμῷ, τῷ μόλις ὑπ' ὠμῶν θηρίων οἰκησίμῳ,
γυμνόν, ἀλήτην, ἄστεγον, πεινῶντα, διψαλέον,
τῆς βασιλείας ὀρφανόν, ὠχρὸν καὶ πενθαλέον,

δυνήσομαί ποσ' ἀπελθεῖν; Ἐγὼ σ' ἀποκαμόντα
καὶ πιεζόμενον λιμῷ κἀκεῖνα τὰ φυγόντα
ἀναπολοῦντα, δέσποτα, καλὰ παρηγορήσω
ἀνίᾳ τε συνόντα σε δεινῇ ψυχαγωγήσω·
διότι νόσῳ φάρμακον οὐδὲν ἐστι παντοίῳ
εὐδοκιμοῦν ἐν ἰατροῖς ἐξ ἴσου τῇ συμβίῳ·
φωνῶ σοι τὴν ἀλήθειαν ἐγώ, γενναῖε, ταύτην:
οὐχ ἕξεις ἄλλην ἀρωγὴν ἐν τῇ ζωῇ τοιαύτην».
«Πρὸς ἀτυχοῦντα σύζυγον οὐκ ἔστι φίλος οἷος
ἡ συνευνέτις ἀληθῶς» — ἀπήντησεν ὁ δῖος
Βιρασενάδης — οὐδ' ἐγώ σ', ἀρίστη, καταλείψω·
σὲ μὲν οὐδέποτ', ἐμαυτὸν δ', εἰ τύχοιμ', ἀπολείψω».
«Εἰ μή μ',» — ὑπέλαβε — «λιπεῖν ἐστί σοι προθυμία,
πρὸς τί μοι, κοίραν', ἡ δοθεῖσ' ἀρτίως ὁδηγία
δι' ἧς ἐδείκνυες ἐμοὶ τὴν ἄγουσαν ἰδίᾳ
πρὸς τοὺς Βιδάρφους, ὡς ἂν εἰ παρῄνεις παρρησίᾳ
εἰς τὰ πατρῷα μοι χωρεῖν· οὐδέποτε τοιαύτης
ἐφανταζόμην παρὰ σοῦ τυχεῖν καὶ τηλικαύτης,
φρονοῦντος, ἀγριότητος! ὤ! μή με καταλίπῃς
μηδέ μοι νῦν ἐπιμελῶς, ἐπήρατε, κατείπῃς
τὰς ἀτραποὺς καὶ τὰς ὁδούς. Εἰ δέ σ' ἐπιθυμία
κατέχει μεταβῆναί με πρὸς τοὺς ἐμούς, ἡ μία
συναμφοτέρους ἀτραπὸς ἀγέτω κατ' εὐθεῖαν
ἐκεῖσε νῦν, ἵν' ἔχωμεν διαγωγὴν ἡδεῖαν.

SISMANOGLIO MEGARO



ΜΕΓΑΛΟΥ ΟΙΚΟΝΟΜΟΥ ΣΑΚΚΟΥΛΙΔΟΥ 1942

## Κ

***Κάππα*** δὲ τᾶς ἀλόχοιο διατμήξας μέγα φᾶρος
εὑδούσης ἥρως ᾤχετ' ἐφεσσάμενος.

Ἐστὶν ὁ σὸς πατὴρ ἀγὸς ὡς ἀληθῶς, Φιμία,
εἶμι δ' ὁμοίως ἡγεμὼν ἐγώ, θεαῖς ὁμοία!
διό μοι, φεῦ! ἀδύνατον ἐκεῖσ' ἐν εὐθηνίᾳ
τὸ πρὶν ἰόντι νῦν ἐλθεῖν ἐν κακοδαιμονίᾳ·
καὶ πῶς ὁ πρὶν ὀψῶν ἐκεῖ τὴν σὴν εὐδαιμονίαν
προσεπιτείνω σου νυνὶ τὴν κακοδαιμονίαν;
τοιούτοις ἄρα ῥήμασιν ὁ Νάλος τὴν ἰδίαν
παρηγορῶν ὁμόζυγον ἀνὰ τὴν ἐρημίαν
ἐβάδιζεν, ἐχόμενος λιμῷ καὶ διψαλέος,
περιαλγής, ὁλόγυμνος, ὠχρὸς καὶ δειμαλέος·
περιπλανώμενοι δ' ὁμοῦ τεταλαιπωρηκότες
εἰς καλιὰν εἰσέδραμον, αἰνῶς ἀπηυδηκότες.
Ἐκεῖ δ' ἐντὸς τῆς καλιᾶς, γυμνῆς καὶ γηραλέας,
μετὰ ψυχῆς βαρυαλγοῦς, ἀθύμου, πενθαλέας,
ἐλεεινὸς ἐκάθισεν ὁ σύζυγος τῆς νέας
ἡγεμονίδος ἡσυχῇ χαμαί, τῆς ἰσοθέας,
κονιορτῷ περιστεφής. Ἐκ δὲ πολλοῦ καμάτου
τῷ κασιγνήτῳ τοῦ δεινοῦ προσέπεσε Θανάτου,
αὐτίκα δ' ἅμα σὺν αὐτῷ καὶ ἡ Δαμαιαντία
καταδαμεῖσα νυσταγμῷ κατέδραθεν ὑπτία.
Τὸ πένθος ὅμως ἐνοχλοῦν ἐκείνου τὴν καρδίαν
διαμπερὲς οὐδὲ στιγμὴν ἐπέτρεπ' ἡσυχίαν·
ἀναπολῶν δὲ τὰ δεινὰ καὶ τὴν ἡγεμονίαν
ἀποιχομένην εἰσορῶν καὶ τὴν εὐδαιμονίαν

καὶ τὸ τῶν φίλων ἄφιλον ἐσκόπει τὸ πρακτέον
ἐν τῷ νυνὶ καὶ σύναμα τὸ πρόσω ποιητέον·
«ἄρ' ἔσται τί ποιοῦντί μοι καὶ τί μοι μὴ ποιοῦντι
τῇ διανοίᾳ τὸ δοκοῦν; ἄρ' ἔσται μοι βιοῦντι
καὶ φῶς ὁρῶντι βέλτιον, ἐναπολελειμμένῳ
ὑπὸ τῶν οἴκοι τέλεον, ἢ ῥίμφα δεδομένῳ
τῷ παρηγόρῳ πένητος καὶ δυστυχοῦς ἑκάστου,
τῆς Εἱμαρμένης γέλωτος καὶ Μοίρας ἀδαμάστου;
ἐμοῦ μὲν ἕνεκα νυνί, συμπεριπλανωμένη
ἡ δύστηνος ὑφίσταται δεινὰ συστερουμένη
τῶν ἀγαθῶν, ἐν ᾧ χωρὶς καὶ μόνη λελειμμένη,
πρὸς τοῦ γενέτου τὴν αὐλὴν αὐτίκα τραπομένη
ἀπαλλαγήσεται κακῶν· καὶ σὺν ἐμοὶ μὲν οὖσα
ἀνίαν ἕξει σύνοικον ἀεί, διατελοῦσα
πιστὴ τῷ συνοπάονι διὰ φιλοστοργίαν,
ἐν ᾧ λειφθεῖσα, δύναται λαμβάνειν εὐπραγίαν»·
Πολλάκις οὕτω τὴν βουλὴν ἐπὶ πολὺ κινήσας
τὴν ἀλγεινὴν ἐν τῇ ψυχῇ καὶ πολλαχῇ δινήσας
εἰς τέλος εὗρε κάλλιον ἀπολιπεῖν κειμένην
τὴν ὁμευνέτιν ἐπὶ γῆς καὶ κατακοιμωμένην
«πρὸς τὴν ἐμὴν ἐπικυδῆ γυναῖκα τὴν ὁσίαν
ἐπενεγκεῖν οὐδείς ποτε δυνήσεταί πῃ βίαν
τὸ θέσκελον αἰδούμενος». Τοιαῦτα δεδεμένος
ὑπὸ στερροῦ τοῦ δαίμονος ἐφράζετ', ὡρμημένος
ἀπολιπεῖν τὴν ἄλοχον. Ἐν τούτῳ τὴν ἰδίαν
ὁρῶν αὐτοῦ γυμνότητα κἀκείνην ἔτι ***μίαν***
ἐσθῆτα φέρουσαν, αὐτῆς ἡσύχως ἀφελέσθαι
βουλεύεται τὸ ἥμισυ καὶ συμπεριβαλέσθαι

SISMANOGLIO MEGARO



περὶ τὸ σῶμ', ἀλλ' ἅμα, μὴ χαμαὶ κατακειμένην
καὶ τοῦ Μορφέως μαλακῷ δεσμῷ πεπεδημένην
εὐθὺς ἐγείρῃ φοβηθείς, ἐφράζετο βαθέως
πῶς ἄρα τὴν διάσχισιν ἠδύνατο ταχέως
χειρὶ γοργῇ κατὰ σπουδὴν ἐπιτυχῶς τελέσαι
ὡς μὴ ταχὺ τὴν ἐρατὴν εἰς ὕπαρ ἐκκαλέσαι.
Τοιαῦτα λογιζόμενος ὁ τάλας τὴν οἰκίαν
ἀφεὶς περιεπόλευεν ἀνὰ τὴν ἐρημίαν,
ὁπότ', ἀνέλπιστον! ἐν ᾧ τὰ πέριξ ἀνεδίφει,
τοῦ κολεοῦ συνέτυχε γυμνῷ καλλίστῳ ξίφει!
ἐκείνῳ νῦν διατεμὼν τὴν ***μίαν*** ἀμπεχόνην
τῆς καλλικόμου καὶ λιπὼν αὐτὴν ἐκεῖσε μόνην,
κεκοιμημένην ἐπὶ γῆς, ἐξέδραμε ταχέως
παράφρων ὅλος! Αὔθωρον ἐπανελθὼν εὐθέως
καὶ τὴν ὁμόκοιτιν ἰδὼν ἐδάκρυσεν ὁ τάλας
καὶ ταραχὰς ἀνὰ θυμὸν ἐδήλωσε μεγάλας
«οὐαί!» θρηνῶν «ἣν ἥλιος οὐκ ἔβλεπε φιλτάτη
καὶ θαλερά μοι γαμετή, νυνὶ δυσμοιροτάτη,
σιτοδεής, ἡμίπεπλος, ὡς ὀρφανὴ πλανᾶται
καὶ ἐν ἐρήμῳ καλιᾷ χαμαὶ κατακοιμᾶται!
Ὢ! πόσον αὕτη τὴν ἐσθῆτ' ἰδοῦσα τετμημένην
μετὰ τὸν ὕπνον, ἑαυτὴν δ' ἐναπολελειμμένην
διατεθήσετ' ἀλγεινῶς ἀζεὶ παραφρονοῦσα,
«ὦ! σῶτερ! ὤ μοι! σύζυγε!» πικρῶς ἀναφωνοῦσα!
ἢ πῶς ἐν δάσει φοβερῷ, θηρῶν οἰκητηρίῳ
καὶ δηλητήρων ὄφεων ἀναχωρητηρίῳ,
περινοστήσει τοῦ λοιποῦ μονήρης ἀφειμένη
καὶ τῶν ἀνέμων τῇ φορᾷ προσαπολελειμμένη;

᾿Αδίτυοι καὶ Βάσυες καὶ Ροῦδροι σὺν ᾿Ασδίνοις
καὶ τῶν Μαρούτων ἡ φυλή, φιλτάτη, σὺν ἐκείνοις
τηρείτωσάν σ', ἀμώμητε, φιλόφρονι καρδίᾳ!
τῇ ἀρετῇ πεφρούρησαι, καλλίστη, τῇ ἰδίᾳ!»
Λαλήσας οὕτως ἡσυχῇ τῇ θαλερᾷ καὶ δίᾳ,
τῇ γυναιξὶν ἀριπρεπεῖ σεμνῇ Δαμαιαντίᾳ,
τῆς καλιᾶς ἐξέδραμε παράφορος ὁ τάλας
κυμάνσεις ὑφιστάμενος ἐν τῇ ψυχῇ μεγάλας.
Χωρήσας ἐπ' ἐλάχιστον ἀφείλκυσεν ὀξέως
τοὺς πόδας, εἶτα δ' ἔμπαλιν ἀνέδραμεν εὐθέως·
ἀχθεὶς ὑπὸ τοῦ δαίμονος ἑκάστοτε βραχέως
ὑπὸ στοργῆς ὁ δύσμοιρος ἀνθείλκετο ταχέως,
καὶ φέρων οἷον δισχιδῆ τὴν ἀλγεινὴν καρδίαν
δραμὼν ἐκτὸς ἀνέστρεφε τὸ βῆμ' εἰς τὴν οἰκίαν
ὡς ἐκκρεμὲς ἑκάστοτε, καὶ τέλος κοιμωμένην
τὴν ἐρατὴν ἀπολιπών, ἐπὶ γυμνοῦ κειμένην
ἐδάφους, ἀπεχώρησε φρενιτιῶν ὁ τάλας,
ὀδύνας ὑφιστάμενος ἐν τῇ ψυχῇ μεγάλας.

## Λ

***Λάμβδ'*** *ὀλοφυρομένης λύσιν ἐξ ὄφιος βασιλείης,*
*ἀτρηγέρος ἀτάρ κείθι κακοίο μόρον.*

᾿Αφ' οὗ δὲ τὴν ἐπήρατον ἐν καλιᾷ κειμένην
ὁ Νάλος ἀπεχώρησε λιπὼν κεκοιμημένην,
ἐξεγερθεῖσ' ἡ δύστηνος κἀκεῖνον ἐκφυγόντα
καὶ μόνην ὅλως ἑαυτὴν ὁρῶσ' ἀπολιπόντα,

SISMANOGLIO MEGARO



περιδεὴς ἐστέναξε καὶ γεγωνὸς ἐβόα:
«ἰού! προστάτα! κοίρανε!» καὶ θαλερὸν ἐγόα:
«αἴ! κηδεμών! ἀπέθανον! ἀπέπτην! ἀπωλόμην!
καὶ πρὸς κακὸν ἀνήκεστον ἡ τάλαιν' ἀφικόμην!
ἦ μ' ἐξηπάτας, ἄμωμε, τὴν ἐκπεφιλημένην
ὁ δίκαιος! ὅς μ' ἔλιπες ἀποκεκοιμημένην;
καὶ πῶς ὁδεύσεις ἐκλιπών, ὑπ' ἄλλου βεβλαμμένος,
τὴν ὁμευνέτιν, ὑπ' αὐτῆς οὐδὲν ἠδικημένος;
τοὺς λόγους ἄγε, δέσποτα! τοὺς πάλαι λαληθέντας
πρὸ τῶν θεῶν, ἀπόφηνον εἰλικρινῶς ῥηθέντας.
οὐχὶ πρὸ μοίρας ἵπταται τὸ τοῦ θανάτου βέλος
οὐδὲ τῆς ὥρας προηχεῖ τὸ πεπρωμένον τέλος!
διότι ***μόνη*** σύζυγος ἀπολειφθεῖσα ***μίαν***
στιγμὴν ἠδύνατο βιοῦν ἀνὰ τὴν ἐρημίαν·
χαριεντίζῃ προφανῶς! ἀλλ' ἱκανῶς ἐχέτω
νυνὶ τὸ χαριέντισμα καὶ μή μοι κατεδέτω
διηνεκῶς ἡ ταραχὴ τὴν ἀσθενῆ καρδίαν
μηδ' ἀφαιρείτω τέλεον αὐτῇ τὴν ἡσυχίαν!
ὤ! σπεῦσον! ἄγε! φάνηθι! δυνάστα, καὶ σωτῆρα
ἐν τῷ δρυμῷ σαυτὸν ἐμοὶ παράσχου καὶ λυτῆρα!
ὤ! καθορῶ σε, φίλτατε λαγέτα, κεκρυμμένον
ἐκεῖ που καὶ φυλλώματι δασεῖ κεκαλυμμένον!
ἀλλ' ἵνα τί μοι, δέσποτα, σιγᾷς ἀεικελίως,
ἐν ᾧ φανήσας ἀμυδρὸν ἠδύνασο ῥᾳδίως,
ἄμυμον! ἀπολῦσαί με τοῦ πανωδύνου σάλου
τοῦ τῆς καρδίας ἀμυστὶ καὶ κοπετοῦ μεγάλου;
ἀνόσιον ὃ πράττεις μοι, δυνάστα, τηνικάδε
κρυβεὶς καὶ μὴ φαινόμενος παρήγορος ἐνθάδε!

οὐκ ἐμαυτὴν οἰκτείρω νῦν οὐδέ τι τῶν ἰδίων,
σὲ μόνον, ἄριστε βροτῶν, οἰκτείρω τῶν μυρίων,
οἷς ὑπαντήσεις, ἕνεκα δεινῶν ἐν ἐρημίαις,
λογιζομένη: κεκμηκώς, πεινῶν, κακοπαθείαις
πῶς ἔσῃ συνεχόμενος ἐν ὄρεσιν ἀγρίοις
ἐμοῦ χωρίς, ἐν φοβεροῖς θηρῶν οἰκητηρίοις».
Τοιαῦτα λέγουσ' ἡ Φιμὶς ἀπόντι τῷ συμβίῳ
βαρυπενθὴς ἡ δύσμοιρος ἐπὶ τῷ μεγαλείῳ
τῆς ἀνηκέστου συμφορᾶς, ὡςεὶ τις μαινομένη
τῇδε κἀκεῖσε βακχικῶς ἐπήδα φερομένη·
ὁτὲ μὲν ἔτρεχε σκιρτῶσ', ὁτὲ δὲ κατωχρία
διὰ τὸ δέος, ἄλλοτε κατέπιπτεν ὑπτία
καὶ πάλιν ἄλλοτ' ἔκλαιε πικρῶς ὀδυρομένη·
ὑπερφυεῖ δὲ τῷ πυρὶ τῆς λύπης αἰθομένη
μετὰ μακροὺς ὀλοφυρμοὺς ἡ τάλαινα, δακρύων
μεστὴ τὰ βλέφαρ' ἀδινῶν καὶ στεναγμῶν μυρίων
τὸ στῆθος, εἶπεν ἡ πιστὴ τῷ συνευνέτῃ τάδε:
«δι' οὗ ποτέ μοι τῆς ἀρᾶς ὁ Νάλος τηνικάδε
ἐν τηλικαύτῃ νήλιπος ἀλᾶται δυστυχίᾳ,
παντοίᾳ συνεχόμενος ὁ τάλας κακουχίᾳ,
αὐτὸς ἐκείνου μείζονι δεινῷ περιπεσέτω
καὶ βίον ὅλως ἀτερπῆ καὶ δύσβιον ἀγέτω.»
Τοιαῦτα μινυρίζουσα καὶ δάκρυσιν ἡ θεία
τὴν παρειὰν ἀρδεύουσα θερμοῖς Οὐϊδαρφία
τὸν ἐρατὸν ὁμόζυγον ἐζήτει πενθαλέα
θρηνοῦσ' ὡς ἁλιαίετος ἐκεῖ καὶ δειμαλέα!
ἐν ᾧ δὲ περιέτρεχεν ὡςεὶ παραφρονοῦσα
καὶ γοερὰ στενάζουσα καὶ «φεῦ!» ἀναφωνοῦσα,

SISMANOGLIO MEGARO



ἐξαίφνης ὄφις πέλωρος ἐγγύθεν πειναλέος
ἐπὶ τὴν νέαν ὥρμησε δεινὸς καὶ σμερδαλέος·
ἰδοῦσα δ' ἡ ταλαίπωρος οὐκέτι τὴν ἰδίαν,
ἀλλὰ τοῦ Νάλου τὴν δεινὴν ἐθρήνει δυσμοιρίαν,
«Προστάτα!» λέγουσ' «ἵνα τί νυνὶ πρὸς σωτηρίαν
οὐ βοηθεῖς ἐμοὶ φανεὶς ἀπὸ πανωλεθρίαν
ἐπαπειλοῦντος ὄφεως; ὤ! πῶς! ἐκλελυμένος
ἐκ τῆς ἀρᾶς, τῆς ἐρατῆς ἀλόχου μεμνημένος
μετέπειτ', ἔσῃ τὴν πρὸ τοῦ λαβὼν εὐδαιμονίαν;
ἢ τίς σε νῦν ἀλώμενον ἀνὰ τὴν ἐρημίαν
καὶ συνεχόμενον λιμῷ, μεγάθυμ', ἢ νοσοῦντα
ἢ κεκμηκότ' ἢ πάθεσι δεινοῖς ταλαιπωροῦντα
περιβαλεῖ θωπεύμασι καὶ προξηνείᾳ τρόπων
καὶ τῶν δεινῶν ἀναψυχὴν παρέξει καὶ τῶν κόπων;»
Τῇ βαρυδαίμονι πικρῶς τοιαῦτα μυρομένῃ
καὶ τὸ λοιπὸν οὐδεμιᾶς ἐλπίδος ἐχομένῃ
περιπατῶν ἐν τῷ δρυμῷ προσέπτη κυνηγέτης
τῶν ὀδυρμῶν αἰσθόμενος ὡσεὶ πιστὸς οἰκέτης·
ἰδὼν δ' ὑπ' ὄφεως αἰνοῦ πεπολιορκημένην
τὴν μελανολωτόμματον, δεινῶς ἀπειλουμένην,
ταχὺ τανύσας τῇ χειρὶ τὰ τόξα σμερδαλέως
τὸν ὀλετῆρα δράκοντα διήλασεν ὀξέως.
Ἀφ' οὗ δὲ τὸν πελώριον ἐχθρὸν ὁ κυνηγέτης
διατοξεύσας ἔνιψε τὴν νέαν ὡς οἰκέτης,
σιτίσας καὶ λαλήμασιν αὐτὴν παρηγορήσας,
ἠρώτα πρὸς τὴν ἔξοχον ἰδέαν ἀπορήσας:
«τίς εἶ, δορκόμματε, καὶ πῶς ἐνθάδ' εἰς τηλικαύτην
εἰςέδυς ἀθλιότητα κατὰ τὴν ὥραν ταύτην;»

Ἐρωτηθεῖσ' ἡ βασιλὶς ὑπὸ τοῦ κυνηγέτου
τά τ' ἴδι' ἀφηγήσατο καὶ τὰ τοῦ συνευνέτου
δεινοπαθήματ' ἀκριβῶς καὶ μετὰ προθυμίας·
ἀλλ' ὁ σωτὴρ παρατηρῶν μετὰ γλυκυθυμίας
τὰ φίλτρα τὰ θελκτήρια τῆς ἐρατῆς Φιμίδος
καὶ τὸ τοῦ σώματος ὁρῶν ἡμίγυμνον ἐλπίδος
ἀπατηλῆς ᾐσθάνετο φωνὴν ἐν τῇ καρδίᾳ·
ἀεὶ δὲ μᾶλλον ὑπ' αὐτῆς αἰθόμενος, ἡδείᾳ
προςομιλούσης τῇ φωνῇ καὶ τέρειναν ἐχούσης
τὴν ἁρμονίαν τῶν μελῶν καὶ θέαν παρεχούσης
καθυπερβάλλουσαν αὐτὴν τῷ φέγγει τὴν σελήνην,
τὴν ἔνδον ὅλην ὤλεσεν ὁ δύστηνος γαλήνην·
ταλαιπωρῶν δὲ περισσῶς τῷ πόθῳ τῆς καρδίας
διὰ φωνῆς τὴν ἄνασσαν παρηγορεῖν ἠπίας
ὁ κυνηγέτης ἤρχετο· πλὴν αὕτη τῷ συμβίῳ
διατελοῦσα πανταχοῦ πιστὴ τῷ Νισαθίῳ,
ὀξυδερκῶς νοήσασα τοῦ φαύλου τὴν καρδίαν
καὶ τὴν ἀθέμιτον βουλὴν καὶ τὴν ἐπιθυμίαν,
ὑπὸ βιαίας ὡς ἰπνὸς ὀργῆς ἐκπυρουμένη
τὸν ἄθλιον ἐνέβαλλεν εἰς τρόμον ὁρωμένη,
ἐπενεγκεῖν ὁλοσχερῶς ἀδυνατοῦντα βίαν,
οἰκέτῃ δ' ὄψιν ἐμφερῆ τελέσαντι ζημίαν.
Ἀφ' οὗ δὲ τέλος ὁ καιρὸς ὁ τῆς συνομιλίας
παρῆλθεν, ἡ βαρύμηνις ἀνδρὸς καὶ βασιλείας
βαθέως τὴν ἀπώλειαν ἀνὰ θυμὸν ἀλγοῦσα
κατάρᾳ τὸν ἀνόσιον παρέδωκεν εἰποῦσα:
«ὡς οὐδ' ἐπίνοια ψιλὴ βροτοῦ παρὰ τὸν Νάλον
ἐν τῇ ψυχῇ μ' ἐτάραξεν οὐδὲ παρέσχε σάλον

SISMANOGLIO MEGARO



οὐδένα τέως, οὕτω νῦν εἰς ἓν ἐνθάδε ῥῆμα
ἐμὸν ὁ φαῦλος ἄψυχος πεσέτω παραχρῆμα»·
ὁ κυνηγέτης αὔθωρον ἐπιβολῇ τοῦ θείου
κατέπεσ' οἷ' ἀπὸ πυρὸς ἐλάτη θεσπεσίου!

## Μ

**Μῦ** πλάνον εἰν ὄρεσιν Δαμαάντιδος, ᾧ ἐπ' ἀκοίτῃ
μυρομένης θῆρας τ' ἠδ' ὄρος εἰρομένης

Ἀφ' οὗ δὲ δίκην ἄμυστι τῆς ἐρωτομανίας
ὁ κυνηγέτης ἔδωκε καὶ τῆς φιληδονίας,
ἡ βασιλὶς ἐχώρησεν εἰς ἀχανῆ δρυμῶνα
ἐσθῆτα μόνην ἔχουσα τὸν ἥμισυν χιτῶνα,
δρυμῶνα δένδρων ἔμπλεων παντοίων καὶ ποικίλων,
μεστὸν δὲ πάρδων, τίγρεων, ἐλάφων τε καὶ γρύλων
καὶ κάπρων, ἄρκτων, ὄφεων, βουβάλων καὶ λεόντων,
ταῖς ὠρυγαῖς ὠχρίασιν καὶ τρόμον ἐκχεόντων,
βουνοὺς καλύπτοντα πολλοὺς καὶ κορυφὰς ὀρέων,
καὶ θάμνους ἔχοντ' ἠχηροὺς καὶ θαύματα σπηλαίων
αὐτοφυῆ καὶ τέλματα καὶ λίμνας εὐρυχόρους
καὶ μυριόχρους ἐν αὐταῖς ἰχθῦς πτερυγοφόρους,
καὶ καταρράκτας φοβεροὺς καὶ ῥύακας καλλίστους,
κελαδεινούς, χαρίεντας καὶ ποταμοὺς μεγίστους,
καὶ δυσαρίθμητον χορὸν φυτῶν καὶ ζώων ἄλλων
καὶ ποικιλίαν ὀρυκτῶν καὶ τιμαλφῶν μετάλλων·
ἀλλ' ἡ μεγάλαις ἀρεταῖς καὶ χάρισι σπανίαις
κεκοσμημένη δαψιλῶς καὶ ταῖς ἐπουρανίαις

θεαῖς ὁμοία βασιλὶς περιπατοῦσα μόνη
κατὰ τὸ δάσος ὡς γυμνὴ τῶν φύλλων ἀνεμώνη
οὐδένα φόβον ἐντελῶς ᾐσθάνετο ζητοῦσα
τὸν ἐρατὸν ὁμόζυγον, ἀλλ' ἐπ' αὐτῷ θρηνοῦσα
μετὰ δακρύων ἡ πιστὴ θερμῶν, ἐρειδομένη
πρὸς πέτραν ἀνωλόλυζε, πικρῶς ὀδυρομένη:
«μακρόχειρ, μεγαλόστερνε λαγέτα Νισαθίων!
ὤ! ποῖ λιπών μ' ἀπέδραμες ἐν μέσῳ τῶν ἀγρίων
θηρῶν ἐρήμην, ὀρφανὴν ἐν νάπεσιν ἐρήμοις,
ὀρεσιτρόφων ὠρυγαῖς λεόντων ἐπισήμοις;
μετὰ θυσίας ὑπὸ σοῦ πανδήμως τελεσθείσας
**ἀσβαμεθείους** καὶ λοιπὰς καὶ καλλιερηθείσας,
μεγαλοδώρους καὶ λαμπράς, ὤ! πῶς ἐξαπατήσας
τὴν ἄκοιτιν ἐξέδραμες ἀνοίκτως ἀκηδήσας;
τῶν λόγων ἀναμνήσθητι τῶν ὑπὸ σοῦ λεχθέντων
καὶ τῶν ἐμοί ποτε καὶ σοὶ παρὰ χηνὸς ῥηθέντων·
ἐξ ἧς κατέχεις ἄριστα τῶν Οὐεδῶν σοφίας
ὁ μόνος τούτους ἀναγνοὺς μετὰ φιλομαθίας
τὰ ῥήματ' ἃ ποτ' ἔλεγες ἀκέραια τηρῆσαι
καθῆκον ἦν σοι κἀληθῆ, δυνάστα, καταστῆσαι·
ἀλλὰ μ' ἔπαυσω, φίλτατε, φιλῶν, πεφιλημένην
ἐς τόδ' ὁμόζυγα καὶ σοὶ πιστῶς ἀνακειμένην,
ὁ πανταχοῦ τορὴν ἐμοὶ διδοὺς ὁμολογίαν:
θνητὴν ὡς ἄλλην ἐπὶ γῆς ἐφίλεις οὐδεμίαν!
Ὁ δυςειδής μοι κοίρανος τοῦ δάσους πειναλέος
ἰδού! καὶ χαίνων ἐφορμᾷ, δεινὸς καὶ σμερδαλέος!
ὤ! διὰ τί μοι πρὸς ἀλκὴν καὶ πρὸς ἐπικουρίαν
ἐλθεῖν οὐ βούλῃ ταχινὴν οὐδὲ παρηγορίαν

SISMANOGLIO MEGARO



παρέχεις τῇ φιλτάτῃ σοι, παράφρονι, θρηνούσῃ,
ὁ ποθεινὸς τῇ ποθεινῇ τορῶς ἀναφωνούσῃ;
ἢ δάκρυ χέουσαν, ἰσχνήν, ὠχράν, κεκονιμένην,
δι' ἡμιτόμου φάρεος περικεκαλυμμένην,
περιφρονεῖς, μεγάθυμε! νυνί με μονωθεῖσαν
ὡςεὶ κεμάδ' ἐλεεινήν, μητρὸς ὀρφανωθεῖσαν;
ἢ διὰ τί μοι, δέσποτα! γλυκύ σε προςφωνούσῃ
σιγᾷς ὡς πέτρα γυπιὰς ἢ δρῦς, ἀδημονούσῃ;
ὤ! πῶς ἐγώ σε σήμερον ἐν τῷ πυκνῷ δρυμῶνι,
κοινῷ λεόντων δαφοινῶν καὶ τίγρεων κοιτῶνι,
μὴ πάλιν ἴδω, κάλλιστε, τοῖς ὄμμασιν ἡδέως
καθήμενον ἢ κείμενον ἢ στείχοντα βραδέως
τὸν εὐγενῆ, τὸν εὐφυᾶ, τὸν εὐειδῆ, τὸν νέον,
τοῖς πολεμίοις τὸν ἀεὶ σεπτὸν καὶ δειμαλέον;
ἢ τίνα, Νάλε, νῦν ἐγὼ περίλυπος ἐνθάδε
διερωτήσω περὶ σοῦ πελάσασα τοιᾷδε:
ἆρ' εἶδες τὸν ἀγήνορα τοῦ σμήνους καθαιρέτην
τῶν πολεμίων, τὸν ἐμὸν ἐφίμερον εὐνέτην;
ἢ παρὰ τίνος τὴν καλὴν ἀκούσομ' ἀγγελίαν,
τὴν ὧδ' ἐγγὺς ἐμφαίνουσαν τοῦ Νάλου παρουσίαν;
ἡ τοῦ δρυμῶνος βαλιὰ τὴν ὄψιν, ἡ ταχεῖα
προςάλλεταί μοι βασιλίς, ἐγὼ δ' αὐτὴν ὀξεῖα
προςαγορεύω: «σὺ μὲν εἶ τοῦ δάσους ἡ κυρία,
σὺ τῶν θηρίων ἄνασσα μεγασθενής, ὀλβία·
ἐγὼ δ' ἡ τλήμων, ἣν ὁρᾷς ἐνθάδ', ἡ Βιδαρφία
τοῦ Νισαθίου μέδοντος γυνή, Δαμαιαντία,
τὸν ἐρατόν μοι σύζυγον ἐν τῷ δρυμῷ ζητοῦσα
καὶ παρὰ σοῦ τῶν ἀλγεινῶν ἀναψυχὴν αἰτοῦσα.

῏Ω! δέομαί σου, δέσποινα, μικρὰν παρηγορίαν
ἐπίσταξέ μοι τῇ ψυχῇ καὶ ῥῦσαι τὴν ἀθλίαν
τῶν ἀμυθήτων μοι δεινῶν ἀγγέλλουσ' εἰπου ζῶντα
τὸν ἱμερτόν μοι σύζυγον ἐνθάδε καὶ πεινῶντα
τὸν ἄνακτα τεθέασαι τῶν Νισαθίων· ἄλλως,
ἀνὰ τὸν βίον ἵνα μὴ ταλαιπωρῶ τηνάλλως,
καταφαγοῦσα μ' ἔκλυσον δεινῆς ταλαιπωρίας,
εἰ μή μοι δέδοται τυχεῖν ἡδείας ἀγγελίας!»
Ἡ τοῦ δρυμῶνος ἄνασσα βαθὺ κατανυγεῖσα
ἐκ τῶν ἐμῶν ὀλοφυρμῶν ἀποχωρεῖ τραπεῖσα
πρὸς τὸν ἀγάρρουν ποταμὸν ἐκεῖσε τὸν εὐρέως
εἰς τὸν εὐρὺν Ὠκεανὸν χωροῦντα καὶ βραδέως,
ἐγὼ δ' ἐλπίδων ἔρημος ἐνθάδε πρὸς τὸ ὄρος
τόδ', ὃ τοῦ δάσους ὑπερβὰν ὡς ἥρως νικηφόρος
ὑπερηφάνως ἵσταται χαρίεν, μυριόχρουν,
ἐν τῷ δρυμῶνι σύμβολον ἔξοχον ποικιλόχρουν,
μεστὸν λεόντων, τίγρεων, δορκάδων, ἐλεφάντων,
μετάλλων λίθων ἀγλαῶν, ποικίλων, ἀδαμάντων!
κρηνοῦχον, πολυκάρηνον, φυτοῖς κεκοσμημένον
καλλιπετάλοις, ἄνθεσι μυρίοις ἠσκημένον,
ὑπὸ πτηνῶν παντοδαπῶν ἠχοῦν ἁπανταχόθεν,
τὰς κορυφὰς περιλαμπὲς ἀκτῖσιν οὐρανόθεν,
ἡ τάλαινα προσέρχομαι πολύδακρυς ἱκέτις
παρακαλοῦσα δαψιλῶς ὡς ἔρημος οἰκέτις,
προφήτης ἵν' εὐάγγελος ἐμοὶ περὶ τοῦ Νάλου
τοῦ βασιλέως γένηται, τοῦ δίου καὶ μεγάλου.
«῏Ω! χαῖρέ μοι, μακάριον, αἰθεροδρόμον ὄρος,
τὸ σοβαρῶς ὀρθούμενον ὡς ἥρως νικηφόρος!

SISMANOGLIO MEGARO



ὀρέων ἐγκαλλώπισμα, κρησφύγετον ἀπόρων,
ἑστία πολυκέλαδε πτηνῶν ἀεροπόρων!
ἀσπάζομαί σε προσελθοῦσ' ἐγὼ Δαμαιαντία,
λαγέτου κόρη δυνατοῦ, λαγέτου δὲ συμβία!
θυγάτηρ Φίμου τοῦ κλεινοῦ καὶ γεραροῦ δεσπότου
τῶν Οὐιδάρφων, ἄριστον ὀρέων! ὀλβοδότου
τῶν ὑπηκόων, εὐσεβοῦς, ὀλβίου καὶ δικαίου,
τοῖς πολεμίοις φοβεροῦ, τοῖς οἴκοι δὲ βεβαίου
προστάτου, μεγαλόφρονος τῆς ἀληθείας φίλου,
μειλιχομειδοῦ, προσηνοῦς, ἀμύμονος, αἱμύλου.
Ἐν τοῖς Νισάθοις ἄλλοθεν, ὦ κάλλιστον ὀρέων!
ὁ Βιρασένας ἄριστος ἀνάσσει βασιλέων,
ὁ γεραρός μοι πενθερός, ὁ λῷστος ἐπιγείων,
ἀνὴρ ἐξόχων ἀρετῶν καὶ τρόπων μειλιχίων.
Ἐκείνου δὲ περίπυστον ἐν ἡγεμόσι θάλος
ἐστὶν οὑμὸς ἐπικυδὴς ὁμόγαμος, ὁ Νάλος,
διαδοχῇ παρὰ πατρὸς τὴν βασιλείαν ἔχων,
τοῖς ὑπηκόοις εὐεστὼ διηνεκῆ παρέχων,
πραΰς, ἡδυμελίφωνος, βαθὺς Οὐεδογνώστης,
τῶν ἱερῶν ἐπιμελὴς βιβλίων ἀναγνώστης,
θεοσεβὴς καὶ δίκαιος, ἡδὺς νεκταροπότης,
τῶν πολεμίων ὀλετήρ, ἀρίζηλος τοξότης!
ἐγὼ δ' αὐτοῦ παράκοιτις, ἡ τάλαινα, ποθοῦσα
τὸν εὐειδῆ πανέρημος παρίσταμαι ζητοῦσα
τὸν σύζυγόν μου παρὰ σοί, τὸ κόσμημα καὶ κλέος
τῶν ἡγητόρων, ἄριστον ὀρέων! — ἆρ' ὁ νέος
τῶν Νισαθίων ἡγεμὼν ἀφάθη σου βαδίζων
ταῖς αἰθερίοις κορυφαῖς ὑψόθεν ἢ καθίζων

ἐν τῷ δρυμῷ πολυπενθής, ὁ μέλας, ὁ ἀστεῖος,
ὁ φιλαλήθης, ὁ σοφός, ὁ μέγας, ὁ ἀνδρεῖος
ὡς ἐλεφάντων ἡγεμών! — ὑπέροχον ὀρέων!
παρηγορίαν ἵνα τί φαιδρὰν ἐκ τῶν χειλέων
οὐδ' ἐλαχίστην ἐπιπνεῖς αἰνῶς ὀδυρομένῃ
καὶ κορασίου σάλῳ μοι μικροῦ ταρασσομένῃ;»
«Ἡρώων ἄνθος! εἰ τυχὸν ἐνθάδε κεκρυμμένος
τυγχάνεις ἢ φυλλώματι πυκνῷ κεκαλυμμένος,
αὐτίκα νῦν ἐμφάνηθι καὶ δός μοι σωτηρίαν
καὶ ταχινήν, ἀντιβολῶ, δεινῶν παραμυθίαν!
ὤ! πότε τὴν ἐρίβρομον, ἡδυμελῆ τοῦ Νάλου
«Δαμαιαντία»! τὴν φαιδρὰν ἀσμένη τοῦ μεγάλου
φωνὴν ἀκούσομ' ἄνακτος τὰ δεῖν' ἀποσβεννῦσαν
ἢ γλυκερὰν τοῖς ἀλγεινοῖς ἐλπίδα κεραννῦσαν!
ὤ ποθεινόν μοι πρόσωπον! ὦ Νάλε! τὴν ἀθλίαν
ἐπιφανείς μοι κούφισον ἐπὶ στιγμῇ καρδίαν!»
Λαλήσασ' οὕτως ἡ κλεινὴ πρὸς τὸ χαρίεν ὄρος
ἐχώρησεν ὡς ἄγγελος ἢ νύμφη σαρκοφόρος
εὐθυνομένη πρὸς βορρᾶν· ἀφ' οὗ δὲ τρεῖς ἡμέρας
καὶ νύκτας ἴσας ἔδραμεν ὁρῶσα τοὺς ἀστέρας,
εἰς τέλος ἐθεάσατο περικαλλῆ δρυμῶνα,
τὴν ὄψιν ἐπουράνιον, ἐπιτερπῆ ξενῶνα,
μονὰς ὁσίων ἀσκητῶν, ἐγκράτειαν ἀσκούντων,
τὴν δὲ διάνοιαν ἁγνῶν, ἐξ ὕδατος βιούντων
καὶ ἐξ ἀέρος, ἐδωδὴν τὰ φύλλα ποιουμένων,
φλοιοὺς ἐσθῆτα καὶ θηρῶν δορὰς ἐνδυομένων,
τὴν εἰς τὸν πόλον ἄγουσαν ὁδὸν ἐπιθυμούντων
τῇ διανοίᾳ προσιδεῖν, σοφῶν, εὐδαιμονούντων,

SISMANOGLIO MEGARO



τοῦ Φρίγυος, τοῦ Ἄτριος καὶ τοῦ κλεινοῦ Βασίστου
τῶν ἰσοτίμων ὀπαδῶν, τοῦ μοναστῶν ἀρίστου.
Καὶ κύκλον εἶδεν εὐαγῆ θυμήρων ἐδωλίων,
μεστὸν πιθήκων καὶ λοιπῶν παντοδαπῶν θηρίων.
Ἰδοῦσα ταῦτ' ἀνέπνευσεν ἡ εὔοφρυς, ἡ θεία,
ἡ καλλιμελανόκομος ἁγνὴ Δαμαιαντία,
ἡ κάλλει διαλάμπουσα μαστῶν, ποδῶν, ὀδόντων,
ὀμμάτων, αἴγλῃ καὶ χροιᾷ καὶ χάριτι πρεπόντων.
Μεθ' ὑποκλίσεως ἀφ' οὗ προσεῖπε τοὺς ὁσίους
ἡ καλυκῶπις ἀσκητάς, τοὺς ἀρετῇ πλουσίους
καὶ εὐσεβείᾳ, προσηνῶς παρίσταt' αἰδουμένη
μετριοφρόνως ἡ σεμνή, χαμᾶζε κεκλιμένη.
Οἱ δ' ἀσκηταὶ τιμῆς αὐτῇ δικαίας μεταδόντες
καὶ μειλιχίῳ τῇ φωνῇ τὸ «χαῖρε» προσειπόντες
καθίσασαν ἱκέτευον εἰπεῖν ἐν ἡσυχίᾳ
ἣν δηποτοῦν ἐνέθαλπε ποθὴν ἐν τῇ καρδίᾳ:
«τίς εἶ, καλλίστη δέσποινα! καὶ τίς ἐπιθυμία
προσήγαγέ σε» —λέγοντες— «ἐνθάδε, μακαρία,
ὡς εὖ παρέστης! μή τι σὺ θεὰ τοῦ βαθυσκίου
δρυμῶνος ἢ τοῦ ποταμοῦ τυγχάνεις ἢ τοῦ δίου
τοῦδ' ὄρους; τὴν ἀλήθειαν ἡμῖν εἰπὲ ποθοῦσι
μαθεῖν». Ἐκείνοις ἡ Φιμὶς βαθέως ἀποροῦσι
«οὐχὶ τοῦ δάσους» —εἶπ'— «ἐγὼ θεὰ τοῦ βαθυσκίου
τυγχάνω τοῦδε, κύδιστοι σοφῶν! οὐδὲ τοῦ δίου
τοῦδ' ὄρους ἢ τοῦ ποταμοῦ· γυναῖκα γνῶτε μ' οὖσαν
ἁπλῆν, ἐκ τύχης ἀγαθῆς ἐνθάδε παρελθοῦσαν·
ἐγὼ μὲν ἀφηγήσομαι τὰ κατ' ἐμὲ βραχέως,
αὐτοὶ δ' ἀκούσατ', ὄλβιοι! τῆς ἀτυχοῦς ἡδέως:

Ὁ τῶν Βιδάρφων ἡγεμὼν ἐστὶν ἐμὸς γεννήτωρ,
ὁ Φῖμος ὄνομα, κλεινὸς καὶ δίκαιος ἡγήτωρ·
ὁ τῶν Νισάθων ἔμπαλιν ἐστὶν ἐμὸς εὐνέτης,
ὁ Νάλος ὄνομα, σοφὸς καὶ προσηνὴς ἡγέτης,
θεοσεβής, μεγασθενής, ὀξύνους, ἀναιρέτης
τῶν πολεμίων, ἄριστος ἀνάκτων, ἀθλοθέτης
γενναῖος, φιλοβράχμανος, τῷ τῶν ἐπουρανίων
τὴν αἴγλην ἴσος βασιλεῖ, τῶν ἱερῶν βιβλίων
ἐπιμελὴς ἐξηγητής, τῶν Οὐεδ-Οὐεδάγγων,
μεγαλοπράγμων ὀλετὴρ τῶν δυσμενῶν φαλάγγων.
Ὀλέσας οὗτος ὑπ' αἰσχρᾶς ἐπιβουλῆς ἀχρείων
ὁμοπαικτόρων τὴν ἀρχήν, ἀνθρώπων ἀνοσίων,
καὶ τὴν οὐσίαν ἐντελῶς, ἀπέλιπέ με μόνην
ὡς ὑπ' ἀνέμου χαλεποῦ σεισθεῖσαν ἀνεμώνην·
ἐγὼ δ' αὐτὸν ἐπιποθοῦσ' ἰδεῖν, ὀδυρομένη
περιπλανῶμαι ποταμοὺς καὶ δάση καὶ τεμένη
καὶ λίμνας, ὄρη σκιερὰ καὶ νάματα, ζητοῦσα
τὸν εὐγενῆ πολεμιστήν, ἁπανταχοῦ σκοποῦσα.
Ὡράθη πού ποθεν ἐλθὼν εἰς τόδε τῶν ἁγίων
τὸ θεῖον οἰκητήριον ὁ Νάλος, ὁ μυρίων
ἐστερημένος ἀγαθῶν, οὗ χάριν ἡ δειλαία
ἀνὰ τὸ δάσος τόδε νῦν ἀλῶμαι δειμαλέα
τὸ μέγα καὶ τεράστιον; Ἐὰν ἐντὸς ὀλίγου
μὴ τύχω χρόνου, βράχμανοι, τοῦ ποθεινοῦ συζύγου,
εὐδαίμων ἔσομ' ἀληθῶς τὸ ζῆν ἀπολιποῦσα
καὶ ἑκουσίᾳ τόδε γῇ τὸ σῶμα παραδοῦσα·
διότι τί μοι πρὸς τὸ φῶς ὧδὶ χωρὶς ἐκείνου;
καὶ πῶς μεθέξω τοῦ λοιποῦ τοιαύτης ἐπωδύνου

SISMANOGLIO MEGARO



ζωῆς, ἀεὶ τὸν σύμβιον ἀπολοφυρομένη
καὶ θαλερῶν ἐνδελεχεῖ δακρύων ἀρδομένη
ῥοῇ;» Τοιαῦτα τῇ κλεινῇ καὶ θαλερᾷ τοῦ Φίμου
ὀδυρομένῃ θυγατρὶ σαφῶς ἐξ ὁμοθύμου
βουλῆς οἱ θεῖοι βράχμανοι, δεινοὶ τῶν ἐσομένων
προγνωστικοὶ καὶ τῶν μακρὰν ἐπόπται τελουμένων
ἐν ἀφανεῖ, «τριςόλβιον», ἐρατεινή, «τὸ μέλλον»
— ἀπήντων — «ἕξεις καὶ γλυκὺ ταχέως ἐπιτέλλον
εὐδίας ἄστρον· εὐτυχὴς ἐν οὐ πολλῷ γενήσῃ
τὸν ἐρατὸν Νισάθιον ἰδοῦσα καὶ συζήσῃ
ἀγαλλομένη τοῦ λοιποῦ καὶ θυμαρὴς ἐκείνῳ,
κεκοσμημένῳ στέμματι καὶ ξίφει δεσποσύνῳ,
ἀπηλλαγμένῳ τῶν δεινῶν καὶ τῶν ἁμαρτημάτων,
ἀνατροπεῖ δὲ φοβερῷ τῶν δυσμενῶν ἁρμάτων,
τοῖς ὑπηκόοις χάρματι καὶ φέγγει γινομένῳ,
δικαιονόμων ἀληθεῖ βραβεῖ καθισταμένῳ·
τοιαῦτά σοι προλέγομεν ἡμεῖς ἐν ἀληθείᾳ»
καλλίστη! «προγινώσκοντες τὸ μέλλον εὐσεβείᾳ».
Εἰπόντες οὕτως οἱ σοφοὶ τῇ δίᾳ βασιλίδι,
ὡς μεταπόντιος ὁλκὰς ἐν μέσῃ καταιγίδι,
ἀπὸ τῆς γῆς ἀνάρπαστοι σὺν τῷ πυρὶ τῷ θείῳ
ἀπαξαπλῶς ἐγένοντο καὶ τῷ θελξικαρδίῳ
τῶν ἐδαλίων ὁρμαθῷ. Τὸ γεγονὸς ἰδοῦσα
τὸ θαυμαστὸν ἡ βασιλὶς ἡ νέα καὶ παθοῦσα
τῆς διανοίας ταραχὴν «ἆρ' ὄψιν ἐνυπνίου
ἐθεασάμην» — ἔλεγεν — «ἢ φάσμα τι τοῦ θείου;
ὢ! τίς ποτ' ἦν ἡ δύναμις ἡ τόδε μοι ποιοῦσα
τὸ παρὰ δόξαν ὅραμα; ποῖ δ' ᾤχετ' ἀπιοῦσα

ἡ τῶν ὁσίων ἄγυρις μετὰ τῶν ἑδωλίων
καὶ ὁ χαρίεις ποταμὸς ὁ ὑπ' αἰθεροβίων
ἐπιφοιτώμενος πτηνῶν, ὁ διαυγὴς καὶ δῖος;
καὶ ποῖ τῶν δένδρων ὁ χορὸς ὁ πάγκαλος καὶ θεῖος,
ὁ ποικιλίᾳ τῶν καρπῶν ἡδὺς καὶ τῶν ἀνθέων
τῇ ἁρμονίᾳ τερπωλὴν τοῖς ὄμμασ' ἐπιχέων;»
Τοιαῦτα χρόνον ἡ Φιμὶς πολὺν ἐν τῇ καρδίᾳ
ἀνακυκλοῦσα καὶ δεινῇ παλαίουσ' ἀπορίᾳ
διὰ τὸν Νάλον ἦν ὠχρὰ καὶ ἔστενε βαθέως
θερμοῖς τὴν ὄψιν ἄρδουσα δακρύοις, ὅτ' ἡδέως
τὸ δένδρον εἶδεν ***ἄσωκον*** ἀνθοῦν ἐν τῷ δρυμῶνι,
ὡςεί τις εἶδ' ἀμαρυγὴν ἐσχάρας ἐν χειμῶνι,
κεκοσμημένον ὀφθαλμοῖς, ἠχοῦν ταῖς μελῳδίαις
πτηνῶν ποικίλων, εὐειδές, ἀρέσκον ταῖς καρδίαις·
καὶ προςελθοῦσα, δάκρυσι τὰ βλέφαρ' ἀρδομένη,
ἐθρήνει, πένθει τὴν φωνὴν ἐπικεκαλυμμένη,
«ὦ! πόσον ἔστιν εὔδαιμον ἀνθοῦν ἐν τῷ δρυμῶνι
τοδὶ τὸ δένδρον, ὅμοιον ὀρέων ἡγεμόνι!
«ὦ δένδρον ἥδιστον ἰδεῖν! ὁμώνυμον εὐθέως
κατάστησόν με προσιδὸν τὴν ἄνολβον ἡδέως!
ἆρ' εἶδες, ὦ Βιτάσωκε, τὸν Βιρασένα γόνον,
τὸν ἥρωά μοι σύζυγον, ἡμίγυμνον καὶ μόνον;
φυτὸν εὐδαιμονέστατον, ἀμέτοχον ἀνίας!
ὤ! σύ με ῥῦσαι τοῦ δεινοῦ, καὶ τῆς ἀμηχανίας
τῆς ἀλγεινῆς ἀπόλυσον! ἐπώνυμον, ὦ θεῖον!
γενοῦ μοι, δένδρον ***Ἄσωκε,*** τὸ πένθος ἀποσεῖον».
Περιελθοῦσα τὸ φυτὸν εἰς ἔτι δεινοτέραν
εἰςῆλθε χώραν ἡ κλεινὴ καὶ δυσεξοδωτέραν.



Ἐκεῖ δ' ἑώρα νάματα καὶ ῥύακας ἡδίστους
τὴν ὄψιν, ὄρη, σπήλαια, καὶ ποταμοὺς μεγίστους
καὶ δένδρα μυριόφυλλα καὶ λόφους καὶ θηρία
καὶ καλλικέλαδα πτηνά, τανύπτερα, μυρία!
Μετὰ πορείαν δὲ μακρὰν ἐνέτυχε πλουσίᾳ
ἐμπόρων ἡ χαρίεσσα μεγάλῃ συνοδίᾳ,
πληθὺν ἐχούσῃ θαυμαστὴν ἁρμάτων, ἐλεφάντων,
καμήλων, ἵππων, ποταμὸν αὐτίκα διαβάντων
εὐρύν, ἠρέμα ῥέοντα, καλάμοις ἐστεμμένον
τὰς ὄχθας, νήσοις ἐραταῖς ἐπικεκοσμημένον,
μεστὸν ἰχθύων, ὄφεων καὶ χελωνῶν ποικίλων,
ἁλιαιέτων καὶ νησσῶν καὶ κορωνῶν κωτίλων
ἠχοῦντα κελαδήμασιν. Ἰδοῦσ' αὐτὴν ἡ νέα
τοῦ Νισαθίου σύζυγος εἰςῆλθε θαρραλέα,
τὴν ὄψιν ἄφρων, ἄθυμος, ἡμίγυμνος, ἀγρία,
ἰσχνή, πηλῷ περισκεπής, ὠχρὰ καὶ δυσαθλία.
Οἱ δ' ἐν ἐκείνῃ βλέποντες οἱ μὲν ἐπτοημένοι
ὑπὸ δειλίας ἔφευγον, οἱ δὲ συνεσκεμμένοι
μετὰ σιγῆς παρίσταντο, τινὲς μὲν ἀνεφώνουν,
οἱ δ' ἔσκωπτον, οἱ δ' ὕβριζον ὡςεί τινα κακόνουν,
οἱ δ' ἐλεοῦντες ἔλεγον «εἶ τίς, ὦ δαιμονία!
καὶ τίνος; τί δ' ἐπιζητεῖς ἐνθάδ'; ἀμηχανία
κατέλαβεν ἰδόντας σου τὴν ὄψιν· ἢ βροτεία
τυγχάνεις οὖσα; τἀληθὲς ἀνάγγειλον· ἢ θεία
τοῦ δάσους εἶ τις ἄνασσα; μή σύ τις Ἰαξία;
ἢ σὺ γυνὴ διογενής; ἢ σύ τις Ραξασία;
ἀλλ' ἵλεως ἡμῖν γενοῦ καὶ σῶζε καὶ φιλίαν
τῇ συνοδίᾳ πάρεχε καὶ θυμαρῆ πορείαν».

Περιαλγὴς ἡ βασιλὶς τῇ συνοδίᾳ πάσῃ
τὸν εὐρυδίνην ποταμὸν ἐν ὥρᾳ διαβάσῃ,
τῷ ἀρχηγῷ καὶ τοῖς λοιποῖς, ἀπήντησε «γονέως
εἰμὶ θυγάτηρ ἄνακτος καὶ νύμφη βασιλέως.
Ὁ τῶν Βιδάρφων ἡγεμὼν ἐστὶν ἐμὸς γενέτης,
ὁ δ' ὃν ποθῶ Νισάθιος, ὁ Νάλος, ὁμευνέτης.
Εἰ δή που τοῦτον εἴδετε τὸν ἥρωα τυχαίως,
τὸν ἐρατὸν ἀγγείλατε σωτῆρά μοι ταχέως».
Ἀκούσας εἶπε πρὸς αὐτὴν ὁ Σοῦκις μεθ' ἡδείας
ὁ συνοδίαρχος φωνῆς ὁμοῦ καὶ συμπαθείας
«οὐδένα Νάλον ὄνομα καθόλου βασιλέα
οὐδ' ἄλλον εἶδον ὁντινοῦν ἀνθρώπων, ἰσοθέα!
τῆς συνοδίας ἡγεμὼν ἐν τῇ μακρᾷ πορείᾳ
σὲ μόνην ἄνθρωπον ὁρῶ νυνὶ τῇ ἀληθείᾳ
ἐν τῷ δρυμῶνι τῷδ' ἐγὼ τῷ παντελῶς ἐρήμῳ
μερόπων, ἀλλ' ἐλέφασι καὶ πάρδοις ἐπισήμῳ
καὶ λέουσι καὶ τίγρεσι, δορκάσι καὶ βουβάλοις,
ἐλάφοις, ὄφεσι, πτηνοῖς ἐξόχως ἡδυλάλοις».
Ἐρωτησάσῃ δ' ἔπειτα τῇ Δαμαϊαντίᾳ:
πρὸς τίνα τόπον ἦν ἡ νῦν ὁδὸς τῇ συνοδίᾳ
«πρὸς τοῦ κλεινοῦ Σουβάχυος τοῦ Σεδοβασιλέως
τὴν γῆν» ὁ συνοδίαρχος ἀπήντησεν ἡδέως.



## Ν

**Νῦ** δ' ὡς λευγαλέῃ μεθ' ὁδοιπορίην ἐς ἄνακτος
Σουβαχύου κλειτοὺς ἵκετ' ἄνασσα δόμους.

Ἡ καλυκῶπις ἄνασσα τὰ τῆς ὁδοῦ μαθοῦσα
τῇ συνοδίᾳ σύνοδος ἐγένετο ποθοῦσα
τὸν ὁμευνέτην ἥρωα. Μετὰ μακρὰν πορείαν
χαριεστάτην ἔβλεπον οἱ ἔμποροι καὶ θείαν
ἐν δάσει λίμνην ἀχανεῖ καὶ φοβερῷ μεγίστην,
λωτοῖς εὐώδη, χλοεράν, ἐπιτερπῆ, καλλίστην,
ἠγλαϊσμένην ἄνθεσι καὶ δένδροις ἐριθήλοις
τὰς ὄχθας, ὕδωρ ἔχουσαν ἡδύ, πολυποικίλοις
καλλικελάδοις εὐηχῆ πτηνοῖς ἀεροπόροις.
Ἀποκαμόντα δ' ἔχουσι τὰ ζῶα τοῖς ἐμπόροις
ἐκεῖ ῥαστώνην ἔδοξεν ἑλέσθαι, καὶ πεσόντες
διενυκτέρευον αὐτοῦ μελιηδοῦς λαχόντες
οἱ πάντες ὕπνου ναχελεῖς. Ἀλλ' αἴφνης, ὑγρασίας
περὶ τὸ μεσονύκτιον αὐτόθι κήσυχίας
βαθείας οὔσης, νήδυμον ἁπάντων κοιμωμένων
καὶ μαλακοῖς τὰ βλέφαρα δεσμοῖς πεπεδημένων,
ἐπῆλθε πρὸς τὸν χείμαρρον ἐκεῖσε μεταβάντων
ἀγέλη χάριν ὕδατος ἀγρίων ἐλεφάντων.
Ἀμελλητί, τοὺς τιθασοὺς ἐλέφαντας ἰδόντες
καὶ τοὺς ἐμπόρους, οἱονεὶ κατὰ κρημνοῦ πεσόντες
ἐξ ὄρους ὀλοοίτροχοι, μεθύουσιν ὁμοίως
ἀκατασχέτως ὥρμησαν ἐφ' ἅπαντας ἀγρίως.
Ἐκ τῆς ἐφόδου τῶν ὁδῶν ἀβάτων γενομένων,
ὁ τῶν ἐμπόρων ὅμιλος, ἀνέτως κοιμωμένων,

SISMANOGLIO MEGARO

ἐκεραΐσθη κατὰ γῆν ἀκονιτὶ ταχέως
ἐπὶ τῇ λίμνῃ τῶν λωτῶν. Οἱ πλεῖστοι μὲν εὐθέως
ἐλεεινὰ μυρόμενοι καὶ τοῦ δεινοῦ ζητοῦντες
ἐν τῷ δρυμῷ καταφυγήν, αἰνῶς ὑπνομαχοῦντες
ἀθρόοι συνετρίβησαν ὑπὸ τῶν πελωρίων
θηρῶν ὀδοῦσι καὶ ποσὶ καὶ προνομαῖς. Ἐνίων
ἐφθάρησαν αἱ κάμηλοι· διὸ πεζοῖς μιγέντες
καὶ φόβῳ διατρέχοντες ὡσεί τινες μανέντες
ἀλλήλους ἀπεκτίννυον. Οἱ δὲ πεφοβημένοι,
ἐπὶ τῶν δένδρων ἄσυλον εὑρίσκειν ὡρμημένοι
κατολισθαίνοντες εἰς γῆν ἀφ' ὑψηλοῦ βαρέως,
δεινὰς ἱέντες οἰμωγὰς ἐφθείροντο ταχέως.
Ποικιλοτρόπως οὕτω νῦν οἰκτρῶς ἡ συνοδία
ἡ τῶν ἐμπόρων ὤλετο θεόθεν, ἡ πλουσία,
τῇ τῶν θηρῶν ἐπιδρομῇ· βοὴ δὲ τεραστία
ὡσεὶ Διός τις ἀπειλὴν ἐμφαίνουσ' αἰθερία
πρὸς τὸν αἰθέρα πάντοθεν ὑψοῦτο καὶ τὰ τρία
τῷ βαρυδούπῳ τοῦ παντὸς ταράττουσα χωρία.
«ἐνθάδε πῦρ ἐξαίσιον! ὤ! σώθητε, παρόντες!
ἐνθάδε λίθοι τιμαλφεῖς! ὤ! λάβετε δραμόντες·
κοινός ἐστ' ὅδ' ὁ θησαυρός! οὐ ψεύδομαι! χωρεῖτε!
ἀναμνησθήσομ' ἐφεξῆς, ἀσύνετοι! νοεῖτε!»
τοιαῦτά τιν' οἱ ἔμποροι φωνοῦντες ἀπεχώρουν
καὶ πρὸς τὸ πάμμεγα δεινὸν περιδεεῖς ἠπόρουν!
Ἐν τούτῳ δ' ἡ λωτόμματος Φιμὶς ἐγειραμένη
καὶ περιφόβῳ τὰ δεινὰ φρενὶ θεασαμένη
τὰ πρὶν ἀθέατ' ἄναυδος ἀνέθορεν εὐθέως
ἐκπεπληγμένη τῇ ψυχῇ, στενάζουσα βαθέως!

SISMANOGLIO MEGARO



Οἱ δ' ἀβλαβεῖς ἐκ τοῦ κακοῦ καὶ σῶοι τηρηθέντες
ἐκ τῶν ἐμπόρων ἅπαντες ὁμοῦ συνειληθέντες
φωνῇ μιᾷ μετ' ὀδυρμῶν «ὤ! τίνος ἀσεβείας
καρπὸς τόδ' ἐστιν»—ἔλεγον— «ἢ τίνος ἀκηδείας
περὶ τὸ θεῖον; ἀληθῶς Μανίφαδρος ὁ δῖος
καὶ τῶν Ἰάξων ὁ ταγός, Βαισράβανος ὁ θεῖος,
τῆς ἀνηκούσης παρ' ἡμῶν οὐκ ἔτυχον λατρείας,
τὸ δὲ λατρείας ἀμελεῖν ἐστί πως ἀσεβείας!
ἀπὸ πτηνῶν που τόδ' ἡμῖν ἐγένετο βεβαίως
ἢ μῆνις ἦν ἡμῖν αὐτὴ τῶν πλανητῶν τυχαίως;
ἢ τί τοῦτ' ἔστιν ἕτερον». ἀλλ' ἄλλοι δυστυχοῦντες
ἐκ τοῦ δεινοῦ καὶ πολλαχῇ δεινῶς ταλαιπωροῦντες
ἐκ τῶν παρόντων ἔλεγον «ἡ σήμερον ὀφθεῖσα
πηλοσκεπής, ἀσύνετος, τὴν ὄψιν ἀλλαγεῖσα
γυνὴ τὸ ταύτης αἴτιον ἡμῖν τῆς ἀπωλείας
τῆς ἀνηκέστου καὶ δεινῆς καὶ τῆς πανωλεθρίας
τοῖς φοβεροῖς μαγεύμασι, προδήλως Ἰαξία
ἢ Πισακὶς ἐπίφοβος ἢ δή που Ραξασία!
αὐτῆς ὅδ' ἔργον ὁ δεινὸς τῆς συνοδίας φόνος,
αὐτὴ σαφῶς ἐπαίτιος ἡμῖν τῆς ἀλγηδόνος!
εἰ δή πως ἦν ἰδεῖν ἡμῖν ἐνθάδε που παροῦσαν
ἀνὰ τὸ δάσος τὴν αἰνὴν ἢ πόρρωθεν ἰοῦσαν,
εὐθὺς ἂν ἀπωλέσαμεν αὐτοῦ διὰ βωλάκων
καὶ κονισάλου καὶ πυγμῶν καὶ ῥάβδων καὶ δονάκων.
Τῆς φοβερᾶς ἀκούσασα τηλόθεν ὁμιλίας
ἡ καλυκῶπις ὑπ' αἰδοῦς καὶ σύναμα δειλίας
κατεχομένη τοῦ δρυμοῦ διώδευε τὰ βάθη
καὶ τὰ πολλὰ καὶ συνεχῆ διενοεῖτο πάθη

τὰ μέχρι τοῦδε, λέγουσα πρὸς ἑαυτὴν «ὢ! ποίου
καρπὸς ἦν ἔργου τὸ παρόν; Ἐκ τῆς ἀρχῆς τοῦ βίου
κακὸν οὐδὲν οὐδὲ σμικρὸν ἢ λόγοις ἢ νοήσει
ἤ πού τι πράξει μέμνημαι τελέσασ' ἢ βουλήσει·
ἐξ ἀδικίας ἐν ζωῇ προτέρᾳ γενομένης
ἀναμφηρίστως εἰς τὴν νῦν ὑπὸ τῆς Εἱμαρμένης
παροῦσαν ἀτελεύτητον ἱκόμην ἀτυχίαν
καὶ τὴν ποικίλην ἔπαθον δεινῶν ἀκολουθίαν;
συζυγικῆς ἀπώλειαν ἀρχῆς καὶ βασιλείας,
θαλλῶν, οἰκείων χωρισμόν, εὐδίου συζυγίας
πολυαλγῆ διάλυσιν, ἐν ὀφιοῦντι δάσει
περιδεῆ διατριβήν, ἐπώδυνον ὁράσει».
Τῇ δ' ἐπιούσῃ τῶν ἀνδρῶν οἱ τοῦ δεινοῦ φυγόντες
περιαλγεῖς ἐκ τοῦ δρυμοῦ βραδέως ἐξιόντες
μετὰ δακρύων ἕκαστος ἀπώλειαν οἰκείων
πατρός, υἱοῦ καὶ συγγενοῦς, καθόλου τῶν ἰδίων,
ἐθρήνει καὶ κατέκλαιεν. Ἑτέρωθεν ἡ θεία
καὶ καλυκῶπις βασιλίς, ἡ Δαμαϊαντία,
«ὢ! τίν' ἡ τάλαινα δεινὴν εἰργάσμην ἁμαρτίαν!»
ἐθρήνει λέγουσα—«δι' ἣν ἀγέλη συνοδίαν
ἐμπόρων, ᾗ συνέτυχον, ἀγρίων ἐλεφάντων
ὡς κεραυνὸς ἀπώλεσε, νυχίων ἐπιβάντων!
ὢ! ποία νῦν ἐμοὶ μακρὰ καὶ δύσλυτος ἀνία
καρτερητέα τῇ δειλῇ καὶ κακοδαιμονίᾳ,
ἀφ' οὗ με σῶαν ἔλιπεν ἡ καταιγὶς ἐκείνη
τῶν ἐλεφάντων οὐδ' ἀφεῖλ' ἡ τοῦ θανάτου δίνη!
«παρὰ καιρὸν ἀπέθανεν οὐδεὶς» ἡ παροιμία
δικαίως ἀπεφήνατο καὶ πᾶσι προθεσμία

SISMANOGLIO MEGARO



τοῖς ἐφημέροις ὥρισται παρὰ τῆς Εἱμαρμένης,
παρ' ἧς τὴν ἄλυτον οὐδὲν ἐπὶ τῆς οἰκουμένης
βουλὴν τελεῖται·— πλὴν οὐδὲν ἐγὼ διειργασάμην
ἀπὸ παιδὸς ἁμάρτημα, δι' ὃ προσειλκυσάμην
τὴν ἐπελθοῦσαν συμφοράν!— ἡ τῶν ἐπουρανίων
ἰσχὺς ἀνάκτων, οὓς ἐγὼ μετὰ τῶν ἐπιγείων
εἰς ὑμεναίων ἐκλογὴν ὑπ' ἔρωτος ἐλθόντας
τοῦ Νάλου χάριν ἔπεμψα κενούς, ἀποτυχόντας,
τὸν ἀπ' ἐκείνου χωρισμὸν ἐνήργησε βεβαίως».
Τοιαῦτα λέγουσ' ἡ Φιμὶς ἐστέναζε βαθέως
μετὰ δακρύων ἡ κλεινή, τῷ Νάλῳ προσκειμένη
καὶ τοῦ δεινοῦ τὸ μέγεθος ἠρέμα σκοπουμένη.
Σελήνῃ δ' εἶδος ἐμφερὴς ὀπωρινῇ χωροῦσα
τοῖς ἐκ τοῦ φόνου τοῦ δεινοῦ λοιποῖς ἀκολουθοῦσα
βραχμάνοις, ἤδη βράδιον, ἡλίου δυομένου,
πρὸς πόλιν ἐπλησίασε μεγάλην ἐχομένου
τῆς ἀληθείας ἄνακτος Συβάχου Σεδιέων,
ἀρίστην ὄντως οἴκησιν ἀρίστου βασιλέων.
Ἐνθάδε πλῆθος πολιτῶν αὐτὴν εἰσερχομένην
ἐλεεινήν, ἡμίγυμνον, ἰσχνήν, ἐπτοημένην
ὁρῶντες ἀπεθαύμαζον· ὤζει δὲ συνοδία
παρηκολούθουν ἄσμενα βοῶντα τὰ παιδία.
Ἰδοῦσα δ' ἡ φιλόξενος αὐτὴν ἐκ τῶν ἰδίων
δωμάτων οὕτως ἔχουσαν ἐγγὺς τῶν βασιλείων
ἀνακτομήτωρ τῇ τροφῷ, καλέσασα ταχέως,
«ἐκείνην»—εἶπεν—«ἄγε μοι τὴν δύσμοιρον εὐθέως
λαβοῦσ', ἀδίκως ὑπ' ἀνδρῶν ἐκεῖ ταλαιπωροῦσαν
ἐλεεινήν, καταφυγῆς, ὡς ἔοικ', ἀμοιροῦσαν·

μορφὴ τοιαύτη τὴν ἐμὴν ὡς ἀληθῶς οἰκίαν
ἐπικοσμεῖ ταῖς χάρισι καὶ πᾶσι μακαρίαν
καὶ ζηλωτὴν καθίστησι· διότι καὶ φοροῦσα
περιβολὴν παράφρονος καὶ πήματα παθοῦσα
πολλά, καὶ πάλιν ἡ δειλὴ τῇ καλλονῇ τῇ δίᾳ
δεινῶς ὁμοία πέφυκε τῇ λωτοφθάλμῳ Σρίᾳ».
'Αφ' οὗ δ' αὐτὴν ἀνήγαγε κωλύσασα τὸ πλῆθος
ἐκείνη πρὸς τὰ μέγαρα, τεθαμβημένον ἦθος
ἡ μήτηρ ἔχουσ' ἄνασσα «περίλυπός περ οὖσα
καὶ ποικιλίαν» — ἔλεγεν — «ὡς ἔοικε, παθοῦσα
δεινῶν, ὦ νέα! κάλλιστον ἐτήρησας τὸ σῶμα,
τοῦ δὲ προσώπου σοι λαμπρὸν ὡς ἕσπερος τὸ χρῶμα!
εἰπέ μοι, κόρη, τίς ποτ' εἶ; καὶ τίνος γενετῆρος
θυγάτηρ ἀγλαόγυιος ἢ τίνος εὐνητῆρος
ἐρασιπλόκαμος γυνή; διότι στερουμένη
περιβολῆς ἀριπρεποῦς καὶ τεταπεινωμένη,
τὴν ὥραν ἐπουράνιον ἐμφαίνεις, ἐρασμία!
καὶ πῶς ἀφόβως, ὦ θεαῖς ὡς ἀληθῶς ὁμοία
τὸ κάλλος! ἄνευ οὐδενὸς ἀνθρώπου συνοδίας
περιπορεύῃ κατὰ γῆν ἐρήμη προστασίας»;
Εἰπούσῃ ταῦτα τῇ σεμνῇ μητρὶ τοῦ βασιλέως
ἡ Βιδαρβὶς ἀπήντησεν «ἐγὼ γυνή, γονέως
εἰμ', ὦ βασίλισσ'! εὐγενοῦς, ἀρίστου συνευνέτις
ἀνδρός, ᾧ μάλ' ἀνάκειμαι, νυνὶ δ' ἁπλῶς οἰκέτις
κατὰ προαίρεσιν οἰκοῦσ', ἐν ὥραις ἀσχολίας
τεχνῖτις χειροβίωτος, ἀπὸ τῆς ἐργασίας
ποριζομένη τὰ τοῦ ζῆν, ἀεὶ δὲ τρεφομένη
καρποῖς καὶ ῥίζαις, ὅπου νύξ, ἐκεῖ διαιτωμένη

SISMANOGLIO MEGARO



τῷ συνευνέτῃ τῷ πιστῷ πιστὴ διατελοῦσα,
περικοσμήτῳ χάρισι, καὶ συνακολουθοῦσα
διηνεκῶς ὡσεὶ σκιὰ παρὰ τὴν συζυγίαν
καὶ τὴν ἐκείνου πρόθυμος ἀσκοῦσα θεραπείαν.
Καταληφθεὶς ὑπὸ δεινῆς ἀστραγαλομανίας
καὶ πάσης οὕτω γυμνωθεὶς αὐτὸς εὐδαιμονίας
εἰς ὄρος ἀπεχώρησε πτωχὸς καὶ μονοχίτων
ὡσεὶ παράφρων, ἄσιτος, κακῶν ὑπ' ἀμυθήτων
αἰνῶς βασανιζόμενος· λιμῷ δὲ καὶ τὴν μόνην
ἀφαιρεθεὶς ὑπὸ πτηνῶν ἀπώλεσ' ἀμπεχόνην!
'Ακολουθήσασα δ' αὐτῷ παρηγοροῦσα μόνῳ
μωρῷ μωρά, διηνεκεῖ ταλαιπωροῦντι στόνῳ,
ἐπὶ πολὺ παννύχιος τῷ δυστυχεῖ συνοῦσα
καὶ πανημέριος ἐγὼ διῆγον ἀγρυπνοῦσα.
Πολλῷ δὲ τούτων ὕστερον ἀποκεκοιμημένην
ἐν καλιᾷ τὴν ἑαυτῷ πιστῶς ἀνακειμένην
ὁ τάλας αἴφνης ἀποδρὰς ἀπέλιπέ με μόνην,
ἀφ' οὗ μοι τὴν ἡμίτομον ἀφεῖλεν ἀμπεχόνην.
Νυνὶ δὲ νύκτωρ ἡ δειλὴ τὸν ἥρωα ζητοῦσα
καὶ μεθ' ἡμέραν, οὐδαμοῦ δ' εἰσέτι θεωροῦσα
θρηνῶ μοι τὸν **ἀλίγκιον θεοῖς** ὀλβοδοτῆρα,
ὡς ἄνθος ἀπολάμποντα λωτοῦ συνευνητῆρα».
Ὀδυρομένῃ δάκρυσιν αὐτῇ τοῦ βασιλέως
ἡ μήτηρ οὕτως ἀδινῶς ἀλγήσασα βαθέως
«λαβοῦσα θάρρος» — ἔλεγε — «καλλλίστη, κατοικίαν
ἐλθὲ καὶ λάβε παρ' ἐμοί, μεγάλην εὐτυχίαν
τὴν σὴν ἐγὼ λογίζομαι τῷ ὄντι συνουσίαν
καὶ τὴν φιλίαν. Οὕτω μοι παρέσχες ἐξαισίαν,

ὦ φίλη! κλίσιν. Οἱ δ' ἐμοὶ θεράποντες ἡδέως
ἀναζητήσουσι τὸν σὸν εὐνήτορα ταχέως·
ἀλλ' ἴσως ἔλθῃ ποτ' **αὐτὸς** ἐνθάδε, μακαρία!
πλανήτης, οὕτω δ' ἔσται σοι συνάντησις αἰσία!»
Τῆς βασιλίδος ἡ κλεινὴ τοῖς ῥήμασιν εὐθέως
«ἐπὶ ῥητοῖς» —ἀπήντησε— «διαμονὴν ἡδέως,
ὦ μῆτερ! ἀποδέχομαι τὴν ἐν τοῖς βασιλείοις:
ποδῶν οὐ χρήσομαι λουτροῖς, οὐδέποτ' ἀλλοτρίοις
ἀνδράσι διαλέξομαι, βρωμάτων ὑπολοίπου
διαμπερὲς οὐ γεύσομαι παρατεθέντος, εἴπου
κακὸς ἐπιθυμήσειεν ἀνὴρ ἐμοῦ θρασέως,
ποινὴν αὐτῷ θανάσιμον ἐπιβαλεῖς εὐθέως!
Εὐχή μοι τοῦτο, βασιλίς! ἐπὶ τοιούτοις ὅροις
φιλοξενίαν ἐν τοῖς σοῖς, ὦ μῆτερ! ἀνακτόροις
ἡδέως ἀποδέχομαι»· πρὸς ἣν ἀμειβομένη
ἡ μήτηρ εἶπεν ἄνασσα «βαθέως ἡδομένη
τελέσω πάντα, θύγατερ, ἐγὼ πρὸς εὐτυχίαν
τὴν σήν, ἀρίστη, καὶ τὴν σὴν ἁπλῶς ἐπιθυμίαν».
Καλεσαμένη δ' ἔπειτα παρ' ἑαυτὴν ἀσμένη
τὴν θυγατέρα, τοὔνομα Σουνάνδαν, «ἥδ' ἡ ξένη
τεχνῖτις»—εἶπεν— «οὖσά πως ὁμοίας ἡλικίας
ἐστί σου, θύγατερ, αὐτῆς ἀξία τῆς φιλίας!
Αὐτῇ, φιλτάτη, καθεξῆς ἀεὶ συνευθυμοῦσα
καὶ συλλαλοῦσα δίαγε καὶ συνευδοκιμοῦσα».
Ἡ δὲ λαβοῦσ' εἰσήγαγεν ἐκείνην ἡδομένη
ὑπὸ τῶν φίλων ἡσυχῇ συνακολουθουμένη.

SISMANOGLIO MEGARO



## Ξ

**ΞΙ** Νάλος ὥς τ' εἰσεῖδ' ὥς τ' ἐκ πυρὸς ἐξεσάωσε
Καρκότακον, τί δέ μιν δῆχ' ἅ τ' ἔειπε δράκων.

Ὁ δὲ Νισάθιος λιπὼν τὴν Δαμαϊαντίαν
πυρὸς ἐξαίφνης εἶδέ που τοῦ δάσους ἐξαισίαν
ὁρμήν· αὐτίκα δ' ἤκουσε φωνῆς ποθεν ἠχούσης
«ὦ Νάλε! δράμε, δέσποτα!» καὶ «σῶσον» ἰαχούσης.
Εἰπὼν ἐκεῖνος «μὴ φοβοῦ» καὶ πρὸς τὸ πῦρ χωρήσας
τὸν ἄνακτα τῶν ὄφεων εἰσεῖδε θεωρήσας
δακτύλιον γενόμενον. Ὁ δὲ συνεπτυγμένος
τὰς χεῖρας ἔλεγεν αὐτῷ καὶ τρόμῳ δεδμημένος:
«Καρκότακόν με γνῶθί σοι τὸν ὄφιν ἀνασχόντα
φωνήν, ὦ Νάλ', ἱκέσιον, ἀραῖς ὑποπεσόντα
Ναράδου πάλαι τοῦ σοφοῦ «παράμεινον» εἰπόντος
ἐνθάδε μέχρις οὗ ποτε, τοῦ Νάλου παριόντος,
ἀπαλλαγῆς μου τῆς ἀρᾶς ὀψέ που καὶ βραδέως»,
ἐξ ἧς ἐς τόδ' ἀδυνατῶ, μεγάθυμε, τελέως
κινεῖν τὸ σῶμα· σὺ δ' ἐάν, ἀρίφρον, εὐδοκήσῃς,
ἵν' ἀβλαβῆ τὸν δύστηνον ἐμὲ διατηρήσῃς,
τῆς ποθεινῆς αὐτίκα σοι γλυκεῖαν ἀγγελίαν
εὐδαιμονίας ἀγγελῶ, καὶ τὴν ἐμὴν φιλίαν
βεβαίαν ἔχων ἐφεξῆς οὐκέτι δυστυχήσεις,
οὐδ' ὄφιν ἕτερον ὡς ἔμ' ἀνὰ τὴν γῆν εὑρήσεις.
Νῦν οὖν ἐάν, εὐρύμεδον, ἐπάρῃς με ταχέως
ἐντεῦθεν, ἔσομ' ἐλαφρός· ὦ! πρότεινον εὐθέως
τὴν ἀρωγόν μοι δεξιάν». Εἰπόντα καὶ δακτύλου
λαβόντα μέγεθος εὐθὺς ἀπὸ πολυποικίλου

καὶ πελωρίου τὸ πρὸ τοῦ τὸν ὄφιν εἰς χωρίον
τῆς ἀτμοσφαίρας ἄφλογον οὐχὶ πολὺ πλησίον
λαβὼν ὁ Νάλος ἤγαγεν. Ἐκεῖ δὲ καταθεῖναι
τῷ Νισαθίῳ θέλοντι καὶ πρόσω μεταβῆναι
«πορεύθητ'»—εἶπεν— «ἔνια τῶν σεαυτοῦ βημάτων
ἀπαριθμῶν, ὦ δέσποτα! καὶ τότε τῶν ὑπάτων
ἐπαξιώσω σ' ἀγαθῶν». Αὐτίκα δὲ ποιοῦντα
ὡς εἶπε καὶ τὸ δέκατον ἡδέως ἀριθμοῦντα
τὸν Νάλον ὁ Καρκότακος ὑπέδακε, καί, —θαῦμα!—
τὸ πρόσωπον ἠλλοίωσεν ἐν ἀκαρεῖ τὸ τραῦμα.
Ὁ δ' ἑαυτὸν μὲν εἰςορῶν μεταμεμορφωμένον,
τὸν δ' ὄφιν ἀναλλοίωτον διατετηρημένον,
κατεξεπλάγη· θαύματι δ' αὐτῷ συνεχομένῳ
καὶ διανοίας ταραχῇ καὶ κατανιωμένῳ
παραμυθούμενος «ἐγὼ μετέβαλον οὐκ ἄκων
τὴν σήν, ὦ κοίρανε! μορφήν»—ἐλάλησεν ὁ δράκων—
«τοῖς ἐπιλοίποις ἵν' ἀγνὼς παρῇς ἑξῆς ἀνθρώποις·
ὁ δὲ δι' ὃν ὑπεραλγεῖς ὀδύναις πολυτρόποις
ἐξ οὗ κατέβαλον ἰοῦ περιχυθεὶς τελέως
ἀλγῶν ἐν σοί, μεγάθυμε, διαμενεῖ βαθέως
καὶ στένων ἄχρι λύσῃ σε, καὶ τούτῳ σ' ἀδικοῦντι
ἀθῷον ὄντα, κοίρανε! καὶ κατατυραννοῦντι
ὀργῇ καταρασάμενος ἐγώ σε τῶν βασάνων
ἀπέλυσά σε νῦν αὐτοῦ καὶ σύναμα βραχμάνων
ἀνδρῶν τε φόβου δυσμενῶν καὶ κάπρων οὐδὲ πλέον
ἐκ τοῦ στονόεντος ἰοῦ σ' ἐργάσεταί τι νέον·
ἀεὶ δ' ἐν μάχαις ἔπειτα γενήσῃ νικηφόρος!
Καὶ νῦν ἐντεῦθεν ἡσυχῇ προβαίνων ὁδοιπόρος

SISMANOGLIO MEGARO



εἰς Αἰωθίαν εἴςελθε τὸ ἄστυ καὶ ταχέως
τῷ Ριτυπάρνῳ πρόςιθι τῷ δίῳ θαρραλέως
ὡς Βάχυκος ἡνίοχος. Κατ' ἀληθῆ δὲ φήμην
τῶν ἀστραγάλων ἔξοιδεν αὐτὸς τὴν ἐπιστήμην·
διδάξει δέ σε πρόθυμος αὐτὴν εἰς εὐτυχίαν,
τὴν ἱππικὴν ἀντίμισθον λαμβάνων ἐμπειρίαν.
Καὶ τότε τῆς εὐνέτιδος ὁμοῦ καὶ τῶν θαλέων
τυχών, ἀμῦμον! ἄωτον γενήσῃ βασιλέων
καὶ πάλιν, ἐφικόμενος τῆς πάλαι βασιλείας·
λαλῶ σοι, θάρσει! τοῦτο νῦν αὐτὸς ἐπ' ἀληθείας!
Εἰ δέ ποτ' αὖθις ὕστερον ἰδεῖν ἐπιθυμίαν
καταλαβοῦσαν αἴσθοιο τὴν αἰανῆ καρδίαν
τὸ πρῶτον εἶδος, ἄμωμε, τὸ θεῖον, μεμνημένος
ἐμοῦ τόδ' ἔνδυσ' ἔνδυμα· καὶ τοῦτ' ἐνδεδυμένος
ἣν ἔχεις νῦν, ἐπήρατε, μορφὴν εὐθὺς ἀμείψῃ»,
τὴν ἐρατὴν δὲ καὶ καλὴν ἐκείνην ἀπολήψῃ».
Ἀφ' οὗ δ' ἐλάλησεν αὐτὰ καὶ ζεῦγος ἐνδυμάτων
ἐπουρανίων ἔδωκεν ὁ δράκων, ἀπ' ὀμμάτων
ἐξηφανίσθη παρευθύς, ὁ δ' ἥρως ἐπ' εὐθείας
τῆς ἐπεράστου τὴν ὁδὸν ἐτράπετ' Αἰωθίας.
Ἐκεῖσε δ' ἀφικόμενος ἡμέρᾳ τῇ δεκάτῃ,
τῆς ἀλητείας, τοῦ λιμοῦ καὶ τῆς φυγῆς ἐσχάτῃ,
καὶ Ῥιτυπάρνῳ ταπεινῇ τῷ δίῳ προςκυνήσας
βαθέως εἶπε τῇ φωνῇ «μετὰ πολλῆς ἀσκήσας
ἐπιμελείας πολλαχοῦ τὴν τέχνην ἐξαιτοῦμαι
ἡνίοχος γενέσθαι σοι καὶ Βάχυκος καλοῦμαι·
οὐκ ἔστιν ἄλλος ὡς ἐγὼ δεινὸς ἡνιοχεύειν
ἀνὰ τὴν γῆν, ὦ δέσποτα! καὶ δὴ καὶ συμβουλεύειν

ἐν ἀπορίαις ἱκανὸς καὶ παῖδας ἐκπαιδεύειν
εἰμὶ καὶ βρώματ' ἥδιστα τῇ γεύσει μαγειρεύειν·
καὶ τέχνην ἄλλην ἡντινοῦν καὶ πᾶσαν ἐργασίαν
κατὰ τὴν σήν, ὑπέροχε! τελεῖν ἐπιθυμίαν
ἀγωνιοῦμαι τοῦ λοιποῦ· γενοῦ μοι χορηγέτης».
Αὐτοῦ δ' ἀκροασάμενος ὁ συνετὸς λαγέτης
«ὦ! χαῖρ'» —ἀπήντα— «Βάχυκε! ποικίλην ἐργασίαν
ἐγώ σοι δώσω, καὶ πολλὴν αὐτὸς ὑπηρεσίαν
ἐμοὶ παρέξεις ἐνοικῶν ἐν τοῖς ἀνακτορίοις
ἀείποτ' οἴκοις· ἅρμασι δ' αὐτίκα τοῖς ἰδίοις
ἐφίστημί σ' ἰθύντορα, ποδήνεμον πορείαν
τοῖς ἵπποις ὅπως ἐμποιῇς, αὐτὴν ἐπιθυμίαν
ὑπάτην ἔχων. Ἔσται δὲ τὸ νῦν ὁ σὸς μυρίων
μισθός· ἀεὶ δὲ δωρεῶν ἐμῶν ἀνακτορίων
μετέσται σοι, καὶ σύνοικος τῶν οἰκετῶν ὁ δῖος
ἀεὶ παρέσται Βάρσινος καὶ Ζίβαλος ὁ θεῖος
καὶ συνεργάτης ὀτρηρός· ἐκείνοις ἅμ' ἡσθήσῃ
συμπαίκτας ἔχων ἀγαθούς, ἑταῖρε, καὶ συζήσῃ».
Τοῖς ῥήμασι πειθόμενος τοῦ δίου βασιλέως
ὁ Νάλος τότε μετ' αὐτῶν συνῴκησεν εὐθέως.
Ἐκεῖ δ' ἑκάστοτε νυκτὸς ἀπήγγελλε βραδέως
τοδὶ τὸ δίστιχον ἀεὶ καθ' ἑαυτὸν ἡδέως:
«φεῦ! ἡ πιστή μοι ποῦ ποτε πεινῶσα καὶ διψῶσα
καὶ κεκμηκυῖα κέκλιται πρὸς οὐρανὸν ὁρῶσα;
ἢ μέμνηται τοῦδ' ἄφρονος; ἢ τίνι που μερόπων
ἀποκαμοῦσα πάρεστιν ἀγώνων πολυτρόπων;»
Πολλάκις οὕτως ᾄδοντος ἐν τῇ νυκτὶ τοῦ Νάλου,
ἐπιθυμία ζωηρὰ κατέσχε τοῦ Ζιβάλου

SISMANOGLIO MEGARO



τοῦ συνοικέτου τὴν ψυχὴν ἀκοῦσαι τὴν αἰτίαν
τοῦ θρήνου· καὶ ποτε λαβὼν ἠρώτα κατ' ἰδίαν:
«εἰπέ μοι, τίνα θρηνῳδεῖς ἢ τίνος οὕτω κλαίων
μιμνήσκῃ τῆς εὐνέτιδος ἐνδελεχῶς; εὐαίων
ὦ Βάχυκ', εἴης! ἀφηγοῦ τὸ πᾶν ἐπ' ἀληθείας,
ἵν', εἴπως ἔστι, χεῖρά σοι παράσχω βοηθείας·»
«μωρὸς ἀρίστην εἶχε που καὶ θυμαρῆ συμβίαν,
ἣν ἐκλιπών» —ἀπήντησεν— «ἀνὰ τὴν ἐρημίαν
δι' ὅ τι δή ποτ' αἴτιον ἀνὰ τὴν γῆν ἠλᾶτο
καὶ λύπῃ συνεχόμενος ἀγρίᾳ διῃτᾶτο·
τῇ δὲ φλογὶ καιόμενος τοῦ πόθου τὴν καρδίαν
τὴν δίστιχον ἀνέμελπε θρηνώδη μελῳδίαν·
μετὰ πολλὴν δ' ἁπανταχοῦ τῆς γῆς περιοδείαν
οἰκεῖ που νῦν ἀναπολῶν ἐκείνης τὴν ἀθλίαν
ὁ δείλαιος κατάστασιν, ἣν οὗτος ἐν πενίᾳ
ἀκολουθήσασαν αὐτῷ πιστῶς ἐν ἐρημίᾳ—
βαβαὶ τοῦ κακουργήματος!— ἐν δάσει φοιτωμένῳ
ὑπὸ θηρῶν ἀγριωπῶν ἀεὶ καὶ στειβομένῳ,
δεινῷ, μεγάλῳ, τὰς ὁδοὺς ἀπέλιπ' ἀγνοοῦσαν,
ἐρήμην, μόνην, εἴ που ζῇ, κἀναξιοπαθοῦσαν!»
Συχνάκις οὕτω θρηνωδῶν ἀγνὼς ἐν Αἰωθίᾳ
διῆγεν ὁ Νισάθιος ὑπήκοος ἀνίᾳ.

## Ο

Φίμου δ' ὡς ἰότητι Συδῆβος **Ὁ μικρὸν** ἄνακτος
Φιμίδ' ἰδὼν ἔγνω Σουβαχόου 'ν μεγάρῳ.

Ἀλλ' ὅτε πρὶν ὁ θαλερὸς υἱὸς τοῦ Βιρασένα
ἐκ συμφορᾶς ὑπέτεινε δουλείᾳ τὸν αὐχένα
σὺν τῇ συζύγῳ καὶ λιπὼν τὴν ὅλην εὐπορίαν
ἀλήτης περιέτρεχεν ἀνὰ τὴν ἐρημίαν,
γυμνός, ἀκτήμων, ἄφιλος, μονήρης, πειναλέος,
ἐλεεινός, ἀνέλπιστος, ὠχρὸς καὶ πενθαλέος,
ἀκούσας τοῦτ' ὁ πενθερὸς εὐθέως ἀποστόλους
ἀναζητοῦντας ἔστειλε, βραχμανικοὺς προπόλους,
ὑπὸ στοργῆς τὸν ἐρατὸν ἐπιθυμῶν ἀκράτου
τῆς κόρης ὁμοδέμνιον ἰδεῖν τῆς ἐπηράτου,
καὶ χρήματ' ἄφθονα διδοὺς ἑκάστῳ κατ' ἰδίαν
«εἰς πᾶσαν» —ἔλεγεν— «ἑξῆς μερόπων κοινωνίαν
εὐθέως εἰςερχόμενοι τὸ γλυκερόν μοι θάλος,
μεθ' οὗ φυγὰς ὁ σύζυγος ἀποπλανᾶται Νάλος,
ἁπανταχοῦ ζητεῖτέ μοι, καί, τούτου γενομένου,
καὶ τοῦ θερμοῦ ποθήματος, τοῦ ζεύγους, εὑρημένου,
χιλίας βοῦς εἰς ἀμοιβὴν τῷ τούτους ἀγαγόντι
καὶ κώμην ἴσην ἄστει δωρήσομαι μολόντι.
Εἰ δέ πως ἀκατόρθωτον ἐλθεῖν αὐτοὺς εὐθέως,
τῆς ἀγγελίας ἀμοιβὴν δωρήσομαι ταχέως
χιλίας βοῦς.» Ἀκούσαντες τοῦ δίου βασιλέως
τὴν ἐντολὴν οἱ βράχμανοι μετὰ σπουδῆς ἡδέως
εἰς χώρας ἐπορεύοντο καὶ πόλεις τὸν εὐνέτην
τῆς βασιλίδος ἥρωα, τὸν δῖον ἀρχηγέτην

SISMANOGLIO MEGARO



τῶν Νισαθίων, ἅμ' αὐτῇ ζητοῦντες ἐπιπόνως
ἐπὶ πολὺ καὶ πανταχοῦ σκοπούμενοι συντόνως.
Ἀλλ' οὐδαμοῦ συνέτυχον αὐτοῖς, ἀναζητοῦντες
ἐπιμελῶς, οὐδ' ἔμαθον οὐδὲν ἀνιστοροῦντες.
Εἷς τέλος εἷς, ὀνόματι Συδῆβος, ἐν ὁσίᾳ
ἡμέρᾳ τοῦ δυνάστορος ἐν τῇ Σεδιπουρίᾳ
τὴν ὄψιν ἐθεάσατο τῆς εὐειδοῦς Φιμίας
ἐν τοῖς μεγάροις ἄποθεν, μετὰ τῆς ἐρασμίας
τοῦ βασιλέως ἀδελφῆς Σουνάνδης ὁμιλούσης
ἡδὺ καὶ μετὰ χάριτος καὶ συμπεριπολούσης,
περιλαμπούσης ἔξοχον, ὑπὸ πυκνῆς νεφέλης
ἐπισκεπεῖ Φαέθοντι τὸ πρόσωπον ἰκέλης.
Εὐθέως ἀνεγνώρισεν ἰδὼν τῆς βασιλίδος
τὸ πρόσωπον ὁ βράχμανος, ἐν ὥρᾳ, τῆς Φιμίδος,
τοιάδε λογισάμενος «καὶ ῥυπαρά περ οὖσα
τὸ σῶμα καὶ ῥακόεντα φορέματα φοροῦσα
τοιοῦτον ἔχει πρόσωπον, ὁποῖον εὐτυχούσης
ἐθεασάμην ἄλλοτε τῆς νῦν ταλαιπωρούσης·
τὴν ἐργασίαν ἆρ' ἐγὼ τὴν παραδεδομένην
ἐπιτυχῶς ἐτέλεσα νυνί, τὴν ποθουμένην
Δαμαιαντίαν ἀνευρὼν τὴν ὄμμασι μεγάλοις
ἀριπρεπῆ καὶ μέλασι καὶ χείλεσ' ἡδυλάλοις,
τὴν ὡς λωτὸν ἀνάσπαστον ὑπὸ τῆς Εἱμαρμένης,
μετὰ προσώπου καὶ χροιᾶς πηλῷ κεκαλυμμένης
νυκτὶ φαιδρᾷ παρεμφερῆ, καθ' ἥν, ἰού! τὴν Μήνην
φαγεῖν ὁ Ράχυς ἐφορμᾷ, τὴν εὐειδῆ Σελήνην!
τῇ τοῦ συζύγου χαλεπῇ περίλυπον ἀνίᾳ,
ἐλεεινὴν ὡς ποταμοῦ ῥοὴν ἐν ἀνυδρίᾳ,

καθ' οὗ τὰς ὄχθας ὁ λωτὸς ἀπέβαλε τὰ φύλλα,
τῶν δὲ πτηνῶν ὁ κέλαδος ἀπέλιπε τὰ μύλλα,
καλλιμελῆ καὶ ῥαδινήν, τὸ κάλλος ἐξαισίαν,
λιθοκολλήτοις ἐνοικεῖν οἰκήμασιν ἀξίαν,
τῶν ἐπηράτων ἡδονῶν ὁλοσχερῶς ἀργοῦσαν,
ἐλπίδι τοῦ τὸν ὅμευνον ἰδεῖν κακοπραγοῦσαν·
Καὶ πένης ὢν ὁ σύζυγος ὑπάρχει τῇ συμβίᾳ
ἀγλαϊσμάτων ἄριστον ἀεὶ τῇ ἀληθείᾳ!
ἡ δ' εὖνις, εἰ καὶ λάμπουσα καὶ καλλωπιζομένη,
ἐστὶν οὐχ ἧσσον ἀλαμπής, ἀνδρὸς ἐστερημένη!
'Αλλ' ὅμως πάνυ χαλεπὴν ὁ Νάλος ἐργασίαν
ἐπιτελεῖ καὶ φρόνησιν ἐμφαίνει θαυμασίαν,
ὃς εὐειδοῦς εὐνέτιδος ἀποκεχωρισμένος
τοιαύτης, ὅμως ἐπιζῇ μακρὰν ἀπεωσμένος!
Τὴν ἑλικῶπιν οὖν ἐγὼ τὴν εὐεστοῦς ἀξίαν
ὁρῶν ἀλγοῦσαν ἄχθομαι βαθέως τὴν καρδίαν.
'Ω! πότε γῆν ἡ δύστηνος γυνὴ τὴν ἀντιπέραν
εὑροῦσα πάλιν ὄψεται τὴν εὔδιον ἡμέραν!
ἐκδῦσα τῆς ἀτέρμονος τῆς ἀθυμίας λίμνης
καὶ τῆς ἐκείνῃ συναφοῦς τοῦ χωρισμοῦ μερίμνης!
ἀγαλλιάσετ' ἀληθῶς ὁ Νάλος τὴν ἰδίαν
ἀνακτησάμενος εὐνὴν καὶ γῆν καὶ βασιλείαν!
Εἰσὶ δ' ἀλλήλων ἄξιοι κατ' ἀρετῆς οὐσίαν,
καθ' ἡλικίαν εὐανθῆ και γένους εὐμοιρίαν!
Νυνὶ δ' ἐμοὶ τοῦ συνετοῦ προςήκει βασιλέως
τῇ ποθεινῇ πελάσαντι συζύγῳ θαρραλέως
παρηγορῆσαι τέναγος εἰς ἄβατον ἐμβᾶσαν
ἀχέων, οὔπω πρότερον ἀνίαν ὑποστᾶσαν

SIGMANOGLIO MEGARO



θυμοδακῆ τὴν ἀτυχῆ, δεινῶς ἐπιθυμοῦσαν
ἰδεῖν που τὸν ὁμόζυγον, ἐκ τούτου δ' ἀθυμοῦσαν».
Μετὰ τοιούτους λογισμοὺς ἐξ ἐναργῶν σημείων
τὴν ἑλικῶπιν ἀναγνοὺς ἐγγὺς τῶν βασιλείων
ἠρέμα παρεγένετο τῇ θαλερᾷ Φιμίᾳ
καὶ προςκυνήσας ἔλεγε, τῇ Δαμαϊαντίᾳ:
«Συνήθος εἰμ' ὁ βράχμανος ὁ προσιὼν σοι, θεία!
τοῦ σοῦ δὲ φίλος ἀδελφοῦ, καλλίστη Βιδαρφία!
ὁ σός με νῦν ἀπέστειλε πατὴρ ἀναζητοῦντα
καὶ σὲ καὶ τὸν ἀρίζηλον εὐνέτην, ἐκδημοῦντα·
καλῶς μὲν ἔχουσ' οἱ σεπτοὶ γονεῖς ἐπ' ἀληθείας
καὶ σὺν αὐτοῖς οἱ προςφιλεῖς ὁμαίμονες ὑγείας,
ἀλλ' ἔτι κάλλιον ἡ σὴ νεοθαλὴς φυτεία,
ἡ βίον ἕξουσ' εὐτυχῆ θαλέων συζυγία.
Εἰσὶ δὲ πάντες, ὡς εἰκός, ἀθρόον ἕνεκά σου
οἱ συγγενεῖς ὡς ἄφρονες ὑπ' ἄλγους ἀτιθάσου,
καὶ βράχμανοι μυρίοι που τὴν γῆν περιπολοῦσι,
καὶ μετ' ἀτρύτου σ', ἄνασσα, σπουδῆς ἀναζητοῦσι».
Τὸν ἱερέ' ἡ βασιλὶς εὐθέως ἀναγνοῦσα
καὶ τῶν ὀμμάτων θαλερὰν ναμάτων ἐκβαλοῦσα
ῥοὴν ἐκεῖνον ἐφεξῆς ἠρώτα περὶ φίλων,
συνομαιμόνων καὶ πηῶν, ἡλίκων συνομίλων.
'Ιδοῦσα δ' εἶτα σὺν αὐτῷ τὴν ἥλικα λαλοῦσαν
τὴν ἑαυτῆς ἡ συνετὴ Σουνάνδα καὶ δηλοῦσαν
δακρύοις οὕτω θαλεροῖς μυχίαν ἀθυμίαν,
παρειςελθοῦσα βήματι γοργῷ πρὸς τὴν ἰδίαν
μητέρ', «ὦ μῆτερ» —ἔλεγεν— «ἡ ξένη συλλαλοῦσα
βραχμάνῳ δεύει δάκρυσι τὰς παρειὰς ἀλγοῦσα

δεινόν, ὡς ἔοικεν. Εἰ δὴ μαθεῖν ἐπιθυμία
κατέχει σέ τις, ἄνασσα, τίς ἥδ' ἡ ἐρασμία
γυνὴ καὶ πόθεν ἕλκουσα τὸ γένος, ἐκμαθήσῃ
παρὰ τοῦ ξένου τἀληθές, ἐὰν ὁμολογήσῃ».
τῆς θυγατρὸς ἀκούσασα τοὺς λόγους ἡ γενναία
γυνὴ θοῶς ἐχώρησεν οὗ κρύβδην ἡ ὡραία
τῷ ξένῳ διελέγετο βραχμάνῳ, καὶ ταχέως
αὐτὸν ἠπίᾳ τῇ φωνῇ καλέσασα βραχέως
ἠρώτα «τίνος ἄκοιτις ἢ θάλος ἡ παροῦσα,
καὶ πῶς εὐνέτην ἢ γονεῖς ἀπέδραμε λιποῦσα
καὶ τοὺς οἰκείους ἡ δειλή, καὶ πῶς αὐτὴν εὐθέως
ὦ βράχμαν', ἔγνως; ἀκριβῶς εἰπὲ καὶ θαρραλέως».
Τῆς γεραρᾶς ὁ βράχμανος ἰδὼν ἡγεμονίδος
τὸν πόθον ὧδ' ἀπέφαινε σαφῶς τὰ τῆς Φιμίδος.

## Π

*Πῖ δ' ὡς πέμψε μιν ἐς μέγαρον Φιμὶς Ριτυπάρνου
δεύτερον εἶ' αὐτῆς ἀγγελέοντα γάμον.*

Θυγάτηρ ἐστιν ἡ γυνὴ τοῦ περιπύστου Φίμου
τοῦ Βιδαρφίων ἀρχηγοῦ, λαγέτου μεγατίμου,
τοῦ δὲ κλεινοῦ παράκοιτις Βιρασενάδου Νάλου,
τοῦ Νισαδίων ἄνακτος τοῦ δίου καὶ μεγάλου.
Οὐσίας οὗτος, ἄνασσα, καὶ γῆς καὶ τυραννίδος
ὑπὸ παιγνίου στερηθεὶς μετὰ τῆς βασιλίδος
ἐν ὑλοκόμοις ὄρεσιν ἠλᾶτο καὶ σπηλαίοις,
ὑπ' οὐδενὸς ὁρώμενος, καὶ νάπεσι σκοταίοις.



Τῆς ἐρατῆς οὖν ἕνεκεν ἐν ᾧ Δαμαιαντίας
περιερχόμεθα τὴν γῆν οἱ βράχμανοι μυρίας
ἡμέραν ὑφιστάμενοι καὶ νύκτα δυσχερείας,
ἐγὼ τὸ πρῶτον ἔτυχον ἰδὼν μετ' ἀπορίας
αὐτὴν ἐνθάδ' ἐν τῷ τοῦ σοῦ παιδὸς ἀνακτορίῳ,
ὦ μῆτερ! οἴκῳ, μηδενὶ προσώπῳ γυναικείῳ
τὸ κάλλος οὖσαν ἐμφερῆ· φακὸς δὲ τῶν ὀφρύων
ἐν μεταιχμίῳ πεφυκώς, λωτοῦ καταδεικνύων
ἰδέαν, ἄριστος ἰδεῖν, ὡσεί τις ἐμπεσοῦσα
κηλίς, ἀπὸ τοῦ πλάσαντος ἀγλάϊσμα θάλουσα,
εὐθὺς ἐγνώσθη μοι βαθεῖ τῷ ῥύπῳ κεκρυμμένος
ὡσεὶ νεφέλῃ σκιερᾷ σελήνης εἰλημένος
ὑψόθι κύκλος ἀργυροῦς. Ἐν τούτοις εἰ καὶ ῥύπος
καλύπτει τῆς ἑλίκωπος τὴν ὄψιν, ἀλλ' ὁ τύπος
ὁ τῆς ἀμώμου καλλονῆς, καὶ ταλαιπωρησάσης,
ἀριπρεπὴς ἀκέραιος ἐκλάμπει διὰ πάσης.
Τοιοῦτον εἶδος ἔχουσαν ἐγὼ τὴν βασιλίδα
καὶ τῆς ἐξόχου καλλονῆς φακὸν ὡς κορωνίδα
ταχὺ διέγνων εἰσιδὼν ὡσεί που κεκρυμμένον
ἐν τέφρᾳ πῦρ ἐκ τοῦ θερμοῦ, σποδῷ κεκαλυμμένον».
Τοῖς τοῦ Συδήβου ῥήμασι βαθέως ἡδομένη
ἡ γλυκερὰ καὶ μαλερῷ τῷ πόθῳ φερομένη,
Σουνάνδ' ἀμέσως ἔνιψε τὸν τοῦ μετώπου ῥύπον
καὶ τοῦ φακοῦ καταφανῆ κατέστησε τὸν τύπον.
Αὐτίκα συναμφότεραι τὸ γεγονὸς ἰδοῦσαι
μετὰ θερμῶν ἠσπάζοντο δακρύων ἐπιγνοῦσαι
τὴν εὐειδῆ περιχαρεῖς· ἡ δὲ τοῦ βασιλέως
ἐκείνη δάκρυ χέουσα γενέτειρα βραδέως

«θυγάτηρ» —εἶπεν— «ἀδελφῆς ἐμῆς εὑρέθης οὖσα
κεκοσμημένη τῷ φακῷ καὶ κάλλους εὐτυχοῦσα.
Τοῦ τῶν Δασάρνων ἀγαθοῦ καὶ δίου βασιλέως
ἐσμέν, ἐπήρατε! θαλλοί, φιλόφρονος γονέως,
ἡ σὴ γενέτειρα κἀγώ· τῷ Βιδαρφίῳ Φίμῳ
ἐκείνη νύμφη πρότερον ἡρμόσθη τῷ κυδίμῳ,
ἐγὼ δὲ Βιραβάχυϊ τῷ τῶν Σεδῶν ἡγέτῃ
ἐδόθην εἶτα σύζυγος, ἀρίστῳ συνευνέτῃ·
καὶ σὲ τὸ πρῶτον ἱλαρὰν ἡλίου προσιδοῦσαν
ἑῷων αἴγλην, ἄμωμε! ζωῆς μεταλαχοῦσαν
ἐν τοῖς μεγάροις τοῦ πατρὸς ἐκεῖ τοῦ 'μοῦ δικαίως·
εἰσὶν ἐκεῖνα καὶ ἐμὰ τὰ μέγαρα βεβαίως,
ὡς ἤδ' ἡ γῆ καὐτῆς ἐμοῦ καὶ σὴ τυγχάνει πᾶσα».
Περιχαρὴς ἡ βασιλὶς ἐκ τούτου καταστᾶσα
μεθ' ὑποκλίσεως εὐθὺς ἐλάλησε τῇ θείᾳ:
«καὶ μέχρι τοῦδ', ἐφ' ὅσον ἦν ἁγνὼς ἐν τῇ οἰκίᾳ
τῇ σῇ, περιποιήσεως ἀπήλαυον παντοίας
καὶ τῆς ἀμέσου παρὰ σοῦ μελίφρονος εὐνοίας.
'Αλλ' ἔστι, μῆτερ, οἴκησις ἡδείας ἡδυτέρα·
διό με πέμψον οἴκαδε ταχὺ πρὸς τὴν μητέρα,
τὸν ἄνακτα γεννήτορα, τὰ ποθεινὰ παιδία,
ὧν ἐπὶ ξένης ἐκ πολλοῦ κατέστην ἀλλοτρία·
ἰδίᾳ τὰ νεόφυτα, πατρὸς ὠρφανωμένα
διὰ μακροῦ, καὶ τῆς μητρὸς αὐτῆς ἐστερημένα
μενοῦσι; δέσποιν'! οἴκτειρον ἐκεῖνα καὶ ταχέως,
εἰ μοί τι χαίρεις, ὄχημα παράγγειλον, εὐθέως,
ὦ μῆτερ! ἵνα μεταβῶ πρὸς ἃ ποθῶ τοσοῦτον
μετ' ἐπιμήκη χωρισμὸν καὶ πλάνον τηλικοῦτον».



«Καλῶς» εἰποῦσα πρὸς αὐτὴν ἡ θεία μάλ' ἡδέως,
συνεπαινοῦντος τοῦ παιδός, τοῦ Σεδοβασιλέως
πεφρουρημένην ἔπεμψεν ὑπ' ἀριθμοῦ ταγμάτων
μετ' ἐφοδίου θυμαρῶν σιτίων καὶ πομάτων·
'Αφικομένην εἶτ' αὐτὴν εἰς Βίδαρφα ταχέως
οἱ συγγενεῖς ἐδέξαντο μετὰ τιμῆς ἡδέως.
'Εκεῖ δ' ἰδοῦσα τοὺς γονεῖς, τὰ θάλη, τοὺς οἰκείους,
ἀθρόους ὑγιαίνοντας, ἀσμένη βασιλείους
τοῖς οὐρανίωσ' ἡ Φιμὶς ἐτέλεσε θυσίας
καὶ χάριν ἔτισ' ἐμφανοῦς αὐτοῖς εὐεργεσίας·
ὁ δὲ πατὴρ τῷ συνετῷ Συδήβῳ τὰς χιλίας
αὐτίκα βοῦς ἀπέδωκε μετὰ πολλῆς οὐσίας.
Μονονυχίου δὲ τυχοῦσ' ἐκ τούτων ἡσυχίας
ἡ Βιδαρφία τῇ μητρὶ σαφῶς μετ' ἀφελείας:
«εἰ μέλει σοί τι τῆς ἐμῆς μελλούσης εὐτυχίας,
ὦ μῆτερ!» —εἶπε— καὶ ζωῆς καὶ πλήρους ἡσυχίας,
ἀμελλητί μοι τοῦ κλεινοῦ συζύγου τὴν αἰσίαν
διὰ φροντίδος ἔχε νῦν ἐνθάδε παρουσίαν.»
Εἰπούσης οὕτω, δάκρυσιν ἡ μήτηρ ἀρδομένη
τὰς παρειὰς ἐσίγησε, δεινῶς ἀνιωμένη·
αἱ δὲ θεράπαιναι τορῶς αἱ παρ' αὐτῇ παροῦσαι
τῆς βασιλίδος τὴν ἀχλὺν ὠλόλυξαν ἰδοῦσαι.
Μετὰ βραχὺ δ' ἡ βασιλὶς τῷ Φίμῳ πενθαλέα
καὶ θαλερῶν τὰ βλέφαρα δακρύων ἐπιπλέα:
«ἡ σὴ θυγάτηρ»—ἔλεγε—«δεινὸν ὀδυρομένη
τὸν εὐνητῆρ' ἐπιποθεῖ! καὶ νῦν ἀπωσαμένη
ὑπὸ τῆς λύπης τὴν αἰδῶ σπουδῇ με καὶ ταχέως
παρακαλεῖ ζητεῖν αὐτὸν ἐκπέμπουσαν εὐθέως

ἁπανταχόσε κήρυκας.» ὁ Φῖμος ἐχομένως
ἐκ τῶν οἰκείων ἔστειλε βραχμάνους ἡδομένως
ἐπιμελῶς ἀναζητεῖν τὸν ἥρωα κελεύσας
καὶ ταῖς ὀφρύσιν ἀγανῶς τὰ ῥήματ' ἐπινεύσας·
ἐλθοῦσι δ' εἶτα πρός αὐτὴν ἡ Δαμαϊαντία
προσέτασσ' ἵνα πανταχοῦ καὶ πᾶσιν ἐναντία
διατελῶσι λέγοντες: «ποῖ δὴ πεφιλημένην,
ὦ παῖκτα! σύζυγον ἐμὲ λιπὼν κεκοιμημένην
καὶ τὸν χιτῶνα διελών, ὃν εἶχον, ἐπλανήθης;
καὶ πῶς ἐκ τοῦ τολμήματος οὐδὲν συνεκινήθης;
Ἐκείνη δ' ἔτι σήμερον, ὡς ἦν ἐντεταλμένη,
ἐκθύμως ἀναμένει σε περικεκαλυμμένη
χιτῶνος ἡ ταλαίπωρος ἡμίσει, καιομένη,
τὸν ἐρατὸν ὁμόζυγα πικρῶς ὀδυρομένη·
ὦ! χάριν ἤδη πάρασχε θρηνούσῃ καὶ κλαιούσῃ,
καὶ δὸς ἀπόκρισιν αὐτῇ τοιαῦτά σοι λεγούσῃ.
Ἐν ᾧ δὲ πρέπει τῷ χρηστῷ συζύγῳ τῆς ἰδίας
ἐπιμελεῖσθαι πανταχῇ καὶ κήδεσθαι συμβίας,
σὺ πῶς ὁ τὰ καθήκοντα γινώσκων ἀμφοτέρων
ἐστέρησάς μ', ὁ περισσῇ σοφίᾳ διαφέρων;
ἀλλὰ σοφὸς καλούμενος, γενναῖος, ἐλεήμων,
ἀνηλεής μοι, φίλε! νῦν ἐγένου καὶ μεθήμων!
καὶ νῦν ἐλέει μ'! — ***«ἱερὸν τὸ ἐλεεῖν καθῆκον»*** —
ἐκ σοῦ πολλάκις ἤκουσα τὰ ὦτα μου διῆκον».
«Λεκτέα ταῦτα παρ' ὑμῶν ἀεὶ προσερχομένων»
ἔπειπε — «διὰ πόλεων διαπορευομένων,
εἰς ὃ τυχὸν ὁ δύσμοιρος ἀκούσας ἐλεήσῃ
τὴν ἀτυχῆ με σύζυγον ἰδεῖν τ' ἐπιθυμήσῃ·

SISMANOGLIO MEGARO



διότι πῦρ ὑπὸ φορᾶς ἀνέμου καταδαίει
τὰ δάση ῥιπιζόμενον ὁρμῇ καὶ κατακαίει·
εἰ δή τις ἀποκρίνοιτο διαπορευομένοις
ὑμῖν ἀνὴρ ὃ δήποτε, τοιαῦτα φθεγγομένοις,
ἐστὶν ὁ Νάλος ἀληθῶς ἐκεῖνος, ὁ τοσαύτην
ἡμῖν ἀνίαν καὶ ποθὴν ὑπέχων τηλικαύτην.
Ἐπιμελῶς τὰ κατ' αὐτὸν ὡς οἷόν τε μαθόντες,
εἰ δέ τι τύχοι πρὸς ὑμᾶς εἰπών, ἀναλαβόντες
εὐθέως ἐπανέλθετε». Τοιαύτας ὁδηγίας
ἐκεῖνοι κομισάμενοι παρὰ τῆς Βιδαρφίας
ἁπανταχόσ' ἐφέροντο τὸν ἄνακτα ζητοῦντες,
χωρία, πόλεις, ἀγροτῶν οἰκήματα διφοῦντες
καὶ μοναστῶν· ἀλλ' οὐδαμοῦ συνέτυχον ἰδόντες
τὸν Νάλον ἤ τι θυμαρὲς ὑπὲρ αὐτοῦ μαθόντες.
Ἐν τούτοις ἐξετέλεσαν αὐτοὶ δι' ἀκριβείας
ἐντεταλμένον ὅσον ἦν ὑπὸ τῆς Βιδαρφίας.
Μετὰ πολὺ δὲ βράχμανος ἐλθὼν τῇ βασιλίδι,
Πάρναδος ὄνομ', ἔλεγε τοιάδε, τῇ Φιμίδι:
«τὴν ἱεράν σου, δέσποινα, ποθῶν ἐπιθυμίαν
ἐπιτελέσαι, πορευθεὶς εἰς τὴν Ἀϊωθίαν
καὶ Φαγγασύρῳ τάχιστα τῷ βασιλεῖ πελάσας
τὰς ῥήσεις, ὅσας ἔφρασας, ἀνήνεγκον ἁπάσας.
Ἀκούσας οὕτω λέγοντος μετὰ περιεργίας
οὐδὲν ἁπλῶς ἀπήντησεν, ἀλλὰ μετ' ἀπορίας
βαθεῖαν ἔσχε σιωπήν, οὐδέ τις τῶν παρόντων
ἐξήνεγκέ τινα φωνὴν οὐδὲ τῶν θεραπόντων·
ἀνὴρ ἐν τούτῳ δυσειδής, μικρόχειρ, ὑπηρέτης,
ἁμαξηλάτης ἔξοχος, ἡδέων παραθέτης

σιτίων, ἦλθε, Βάχυκος ὀνόματι, κρυφίως
ἐγγὺς ἐμοῦ δακρύρροος καὶ στοναχῶν μυχίως·
ἐλθὼν δέ: «καὶ δεινοῖς ποτε μεγάλοις ἐμπεσοῦσαι
γυναῖκες μεγαλόφρονες καὶ δάκρυσι συνοῦσαι
τηροῦσιν»—εἶπεν—«ἑαυτὰς καὶ τῆς ἐπουρανίας
ἐπαξιοῦνται χάριτος, οὐδέποτ' ἀδικίας
τῶν ὁμοζύγων, οὐδ' ἂν ὦσ' ἐναπολελειμμέναι,
ἐν τῇ καρδίᾳ μετ' ὀργῆς ἀλήστου μεμνημέναι·
διὸ λιμῷ τρυχόμενος καὶ κατακεκαυμένος
φροντίσι τὴν διάνοιαν, αὐτὴν ἀφῃρημένος
τὴν ἐφεστρίδ' ὑπὸ πτηνῶν, ἐν ὄρει τὴν δειλαίαν
ἀβούλως ὅτι προλιπὼν ἀφῆκεν ἐρημαίαν,
ἐκ τούτου μὴ διαμπερὲς ἡ μέλαιν' ὀργιζέσθω
τῷ συνευνέτῃ μηδ' ἀεὶ μνησίκακος γινέσθω
δυσμοίρῳ καὶ λιμώττοντι, χωρὶς ἡγεμονίας
ἐπανελθόντι ποτ' αὐτῷ καὶ δίχ' εὐδαιμονίας».
'Ακούσας ἦλθον, ἄνασσα, κατὰ σπουδὴν ἐνθάδε,
σὺ δὲ μαθοῦσα τῷ πατρὶ τῷ δίῳ τηνικάδε
περιχαρῶς ἀνάγγειλον». Ἡ βασιλὶς ἐλθοῦσα
τῇ γενετείρᾳ, θαλερῶν τὰ βλέφαρα πληροῦσα
δακρύων, «μῆτερ»—ἔλεγε—«Συδήβῳ τῷ καλλίστῳ
τῶν ἱερέων ἐντολὰς αὐτίκα καὶ κυδίστῳ
πρὸ σοῦ, φιλτάτη, δώσω νῦν, ἃς οὔποτε ῥητέον
τῷ γενετῆρι τὴν ἀρχὴν οὐδ' ἀνακοινωτέον,
εἰ τὸ καλόν σοι μέλημα τοὐμόν· ὡς οὖν ὀξέως
ἐνθάδ' ἐκεῖνος ἤγαγεν ἐμέ, καὶ νῦν εὐθέως
εἰς Αἰωθίαν μεταβὰς μετὰ σπουδῆς λαβέτω
τὸν ἐρατὸν ὁμόζυγα καὶ δεῦρο καταγέτω».

SISMANOGLIO MEGARO



τῷ δὲ Παρνάδῳ δῶρα δοῦσ' ἡ Δαμαϊαντία
ἀριπρεπῆ πρὸς ἀμοιβὴν ἐπέλεγεν ἡ θεία:
«τοσαῦτα μέν σοι δίδωμι νυνὶ τὰς εὐποιίας
τὰς σάς, ὦ βράχμανε, τιμῶσ' ἐγὼ τὰς ἐξαισίας,
τοῦ δ' ἡγεμόνος ἔπειτα κατάραντος αἰσίως,
καὶ πλείω τούτων, ὦ 'γαθέ, δωρήσομ' ἑκουσίως».
'Αφ' οὗ δ' ἀπῆλθε γεγηθὼς ἐκεῖνος, ἡ Φιμία
παρισταμένη τῇ μητρὶ περίλυπος ἡ θεία
ᾧ πρὶν ἐνέτυχ' ἱερεῖ Συδήβῳ πενθαλέα:
«εἰς Αἰωθίαν»—ἔλεγεν—«ὡς ἀστραπῆς ἀλέα
εὐθύς, ὦ φίλε, μεταβὰς τοιάνδ' εὐαγγελίαν
τῷ μεγαθύμῳ κόμισον ἡγέτῃ: «συζυγίαν
ἀμέσως αὔριον **αὐτὴ** δευτέραν ἡ Φιμία
παρασκευάζεται τελεῖν. Εἰ δή σ' ἐπιθυμία
κατέχει, φίλε δέσποτα, τῇ τελετῇ παρεῖναι,
εὐθὺς ἀνέμου τάχιον ἐπείγου μεταβῆναι·
ἠῶθεν ἅμ' ἀνίσχοντι τῷ φαεινῷ φωστῆρι
δευτέρῳ δώσει δεξιὰν ἡ δέσποινα μνηστῆρι·
περὶ τοῦ Νάλου δ' ἐντελεῖ τοῦ ἥρωος ἀγνοίᾳ
κεἰ ζῇ που συνεχόμεθα κεἰ τέθνηκ' ἀπορίᾳ»·
ὁ δὲ Συδῆβος πορευθεὶς εἰς τὴν 'Αἰωθίαν
εὐθὺς εἰργάσατο καθ' ἣν ἐκόμισ' ὁδηγίαν.

## Ρ

**Ῥῶ** δ' ἀλαοσπουδὴν ἐνέπει Ῥιτυπάρνοι' ἄνακτος
ἵππων δ' ἡνιόχου δεῖξιν ἀελλοπόδων.

Ἀφ' οὗ δὲ τὴν ἡδύθροον ἐδέξατ' ἀγγελίαν
ὁ Ῥιτυπάρνος ἱλαρᾷ φωνῇ πρὸς ὁμιλίαν
καλέσας τὸν ἡνίοχον «ἐπιθυμῶ ταχέως
ἐντεῦθεν» —εἶπεν— «ὁρμηθεὶς ἐφ' ἅρματος εὐθέως
διὰ βημάτων ἐν **μιᾷ** θυελλωδῶν ἡμέρᾳ
παρὰ τὸν Φῖμον ἀφικέσθ'· ἐκεῖ δ' ἐν τῇ δευτέρᾳ
τῆς Βιδαρφίας ἐκλογῇ παρεῖναι τελουμένῃ
ἅμ' ἕῳ, φίλτατ', αὔριον, αὐτίκα φαινομένῃ.
Τί δὴ φρονεῖς, ὦ Βάχυκε! τῆς ἱππικῆς εἰδήμων
ὑπάρχων ἐμπειρότατος»; αἰσθόμενος ὁ τλήμων
ἐτρώθη Νάλος τὸν θυμὸν ὑπὸ δεινῆς ἀνίας
καὶ μόνος ἐλογίζετο μεστὸς ἀδημονίας:
«ἆρ' ὑπὸ λύπης τὸ δεινὸν ἡ Δαμαϊαντία
εἰργάσατό με τὸ παρόν; ἢ μή πως ἡ αἰτία
αὐτός εἰμι τὴν δύσμοιρον ἠδικηκὼς ὁ τάλας;
ἢ δόλους αὕτη καὶ πλοκὰς ὑπὲρ ἐμοῦ μεγάλας
ἐκ πόθου παρεσκεύασεν; ἢ μὴ τεταραγμένη
τυχὸν ὑπ' ἄλγους ἕνεκεν ἐμοῦ καὶ παυσαμένη
φιλεῖν τὸν ἀποτρόπαιον ἐργάσεταί με ταῦτα;—
ἐπ' ἀληθείας ἄστατον ἀεὶ τὸ γυναικεῖον,
πλὴν ἔστι τὸ πλημμέλημα δεινόν μοι τὸ οἰκεῖον!—
ἀλλ' ὅμως ἔχουσα θαλλοὺς οὐδέποτε τοιαῦτα
ποιήσει μ' ἡ βαθύζωνος· εἰ δ' ἔχετ' ἀληθείας
ἢ μὴ τὸ πρᾶγμα γνώσομαι ταχὺ δι' ἀκριβείας



ἐλθὼν ἐκεῖσε παρευθὺς καὶ χάριν τοῦ λαγέτου
κἀμοῦ δὲ χάριν ἔτ' αὐτοῦ, τοῦ πρώτου συνευνέτου».
Τοιαῦτα λογισάμενος τῷ βασιλεῖ βραχέως:
«τὴν ὑψηλὴν» —ἐφθέγγετο— «διάταξιν εὐθέως
ἐπιτελέσας, ἐν ἑνί, μεγακυδές, ἡλίῳ
τῷ Φίμῳ παραστήσω σε, τῷ δίῳ Βιδαρφίῳ».
Τοὺς ἵππους εἶτα θεωρῶν, ὁρῶντος τοῦ δυνάστου,
καὶ διορῶν ἐπιμελῶς τὰς ἀρετὰς ἑκάστου
ἐγγύθεν ἦλθε τοῖς ἰσχνοῖς καὶ τοῖς ἐπιτηδείοις
εἰς τὸ βαδίζειν, ἰσχυροῖς, ὑπερφυῶς ἀνδρείοις,
ὑπεροχῇ καὶ γενεᾷ κλεινῇ κεκοσμημένοις,
εὐρίνοις, ἀνεμώκεσι, στατοῖς, γεγεννημένοις
ἐν Σινδικῇ, καλλίθριξι, μεγάλαις ἐκπρεπέσι
ταῖς σιαγόσι, τῶν κακῶν σημείων ἀμιγέσι·
ὁ δὲ ταγὸς ἰδὼν αὐτοὺς οὐ πάνυ πως ἡδέως
«πῶς οὕτως» —εἶπεν— «ἀσθενεῖς εἰς Βίδαρφα ταχέως
αὐθημερὸν μετάξουσιν ἡμᾶς; οὐχὶ παικτέοι
οὐδ' ὑπὸ σοῦ τυγχάνομεν ἡμεῖς ἀπατητέοι»·
«ὁ μὲν» —ὑπέλαβεν— «αὐτῶν ἐστὶ διαγνωστέος
ἐν τῷ μετώπῳ, βασιλεῦ, ὁ δὲ διακριτέος
ἐπὶ τοῦ νώτου· δύο μὲν ἐν τῇ πλευρᾷ γνωστέοι,
οἱ δύο δ' ἐν τοῖς ὄμμασι καλῶς ἐξεταστέοι·
ἐμοὶ μὲν ἐπιτήδειοι δοκοῦσι, μέδον, οὗτοι
ἡμᾶς μετάγειν ἀσφαλῶς, φαινόμενοι τοιοῦτοι·
εἰ δέ σοι τούτων ἕτεροι δοκοῦσιν αἱρετέοι,
ἐκεῖνοι, σοῦ κελεύοντος, εἰσὶν ὑποζευκτέοι»·
«τῆς ἱππικῆς ὃς εἶ δεινός, ὦ Βάχυκ', ἐπιστήμων»
—ἀπήντησεν ὁ κοίρανος— «καὶ τούτων, ὡς εἰδήμων,

SISMANOGLIO MEGARO

αὐτὸς οὓς ἔχεις ἀγαθοὺς ὑπόζευξον εὐθέως»·
ὁ Νάλος τότε τέσσαρας ὀχήματι ταχέως
ἑλὼν ὑπέζευξε λαμπροὺς εἰς γένος, ἀελλώδεις
τοὺς πόδας, ἐριαύχενας, ὑψήχεις, παταγώδεις·
ἐκεῖνοι δ' ἅμα τὸν ἀγὸν ἰδόντες ἐπιβάντα
χαμᾶζε πάντες ἔπεσον· εἶτ' αὖθις ἐπιστάντα
ἰδόντες τὸν ἡνίοχον, ὀτρύναντος ἐκείνου,
μετὰ σκιρτήματος εὐθὺς ἀνέθορον πυρίνου
πηδῶντες ἐναέριοι καὶ θαυμασμοῦ πληροῦντες
τὸν ἡγεμόνα, σὺν αὐτῷ δ' ὑπερφυῶς κινοῦντες
τὸν ἐφεστῶτα Βάρσινον, ὃς οὕτω θαυμασίαν
τὴν τοῦ Βαχύκου θεωρῶν δεινὴν ἡνιοχίαν:
«ἆρ'» — εἶπεν — «ὅδ' ὁ Μάταλις; ἆρ' ὅδ' ὁ βασιλέως
τοῦ τῶν θεῶν ἡνίοχος; παρίστησι τελέως
ἐκείνου τὴν περίνοιαν· ἢ μή πως ὁ τὸ γένος
εἰδὼς τῶν ἵππων ἄριστα Σαλίχωτρος, ὁ μένος
αὐτοῖς καὶ θάρρος ἐντιθείς, μορφὴν ἐνδεδυμένος
καὶ σῶμ' ἀνδρός; ἢ μή πως ὅδ' **αὐτὸς** ἠλλοιωμένος
ἐστὶν οὑμὸς Νισάθιος; ἢ μή πως ἐμπειρίαν
τῶν ἵππων ἔχει τὴν αὐτὴν ἐκείνῳ καὶ σοφίαν;
ὁμήλικες ἀμφότεροι, δαίμονες ὁμοίως!
εἰ δὴ μὴ Νάλος ὅδ' ἐστίν, ἀλλ' ἔστι δαιμονίως
τὴν ἱππικὴν ἰσοπαλὴς τῷ βασιλεῖ σοφίαν·
κρυφῇ δὲ περιάγουσι κατά τιν' αἰθερίαν
οἱ ζαμενεῖς ἐνίοτε τὴν γῆν οἰκονομίαν
ὡςεί τινες ἀπόστολοι τοῦ θείου κατ' ἰδίαν
Ἐστὶ σημεῖον ἱκανὸν ἡ τούτων ἡλικία,
ἀλλ' ἔστι πάλιν ἐντελῶς ἡ ὄψις ἀλλοτρία·

SISMANOGLIO MEGARO



περαίνω μὴν πειθόμενος ὡς ὅδ' ἐστὶν ὁ Νάλος,
τὸ διαπρέπον ἀρεταῖς τοῦ Βιρασένα θάλος»·
τοῦ μὲν ἐπεῖχον λογισμοὶ τοιοῦτοι τὴν καρδίαν,
ὁ δ' ἡγεμὼν ἀγάμενος τοῦ Νάλου τὴν σοφίαν
περὶ τοὺς ἵππους, ἅμα δὲ δεινὴν ἡνιοχίαν,
ἀνὰ θυμὸν ᾐσθάνετο βαθεῖαν θυμηδίαν.

## Σ

***Σίγμα*** δὲ πῶς σοφίης Ῥιτυπάρνοι' αἶψα μετασχὼν
Νεισάθιος δεσμῶν ἐξελύθη Κάλεω.

Ἐν ἀκαρεῖ διήνυσαν βουνοὺς καὶ πεδιάδας
καὶ νάπη, δάση, ποταμοὺς καὶ λίμνας καὶ κοιλάδας
ἀεροπόρον ὡς πτηνόν· ἀλλ' εἶτά που πεσοῦσαν
τὴν ἐφεστρίδα κατιδών, ἑτέραν δ' οὐ παροῦσαν,
ἐκέλευεν ὁ κοίρανος «ἐπίσχες, αἰσυμνῆτα,
τοὺς ἵππους, ἵνα τὴν ἐμήν, ἣ πέπτωκεν, ἐσθῆτα
ἀνακομίσῃ καταβὰς ὁ Βάρσινος εὐθέως»·
«οὐκέτ', ἡγέτα, δυνατὸν ἀναλαβεῖν ὀξέως
τὴν ἐφεστρίδ'» — ἀπήντησεν ὁ Νάλος —, «ἀνυσάντων
πολλὴν ἐς τόδ' ἡμῶν ὁδὸν αἰνῶς καὶ χωρησάντων
μακράν». Ἀκούσας ἔδραμεν ἐκεῖνος ἐν τῷ δάσει
πρὸς τὸ φυτὸν ***βιφίτακον***· αὐτοῦ δ' ἐπὶ τῇ βάσει
σταθεὶς «ἰδέ μοι, Βάχυκε, καὶ τὴν ἐμὴν σοφίαν
τῶν ἀριθμῶν» — ἐφώνησε — «καὶ τὴν πολυμαθίαν·
οὐ πάντα πάντες ἄνθρωποι γινώσκουσιν ὁμοίως
οὐδ' ἔστιν ὁ τὰ πάντ' εἰδώς, εἰ μή που δαιμονίως·

οὐδ' ἐν ἑνὶ ποτ' ᾤκησεν ἡ σύμπασ' ἐπιστήμη,
εἰ καί τις ἔστι πού τινος ἐκδεδομένη φήμη.
Νυνὶ δ' ἐγώ σοι, Βάχυκε, καρπῶν, μετ' ἀκριβείας,
καὶ φύλλων ὅση πάρεστι πληθὺς ἐπ' ἀληθείας
ἐπὶ τοῦ δένδρου τοῦδ', ἐρῶ: πεπτώκασι τὰ πάντα
ἀπὸ τοῦ δένδρου φύλλ' ἑνὶ τὴν μίαν ὑπερβάντα
ἑκατοντάδα, φίλτατε, δυοῖν δ' ἐκείνου κλάδων
τὰ φύλλ' εἰσὶν ἡμίσεα χιλίων μυριάδων.
Ἐπὶ δὲ τούτων ἀκριβῶς ὁμοῦ λαμβανομένων
καὶ τῶν θαλλῶν, ἐπιτερπῶς ἐκεῖθεν ἀρτωμένων,
πληθὺν εὑρήσεις ἀγλαῶν καρπῶν εἰς δισχιλίους
καὶ πέντε δέοντ' ἑκατόν»· ἀφ' οὗ δὲ θαυμασίους
ἐκεῖνος ἤκουσ' ἀριθμούς, ὀξέως ἐπιστήσας
τοὺς ἵππους ὑπὸ θαύματος «ὦ δέσποτ', ἀριθμήσας
αὐτὸς ὅσ' εἶπες»—ἔλεγε—«κατάδηλα ποιήσω
λεγόμεν' οἷον ἄδηλα, καὶ πρῶτον ἀριθμήσω
πρὸ τῶν ὀμμάτων τοὺς καρποὺς τῶν σῶν ἐγὼ ταχέως
τεμὼν **αὐτό,** μεγάθυμε, τὸ δένδρον ὡς τελέως
ἀγνῶς· τὸ δ' ἅρμ ὁ Βάρσινος ἐπὶ στιγμὴν ἐχέτω
τὸ γλαφυρόν»· «μηδὲν ἡ χείρ, ἀγαπητέ, πρασσέτω
τοιοῦτον»—εἶπ' ὁ κοίρανος—«ἡ σή· καιρὸς ἐνθάδε
οὐκ ἔστι πρὸς ἀπώλειαν εἰς τάδε τηνικάδε».
Ὑπὸ σπουδῆς ὁ Βάχυκος «ἐπὶ στιγμήν, ἡγέτα,
περίμεινόν μ', εἰ δὲ ποθεῖς, πορεύθητι, λαγέτα,
μετὰ Βαρσίνου· νῦν ὁδὸς ἐντεῦθεν ἡ εὐθεία».
Ἐν τῇ καρδίᾳ κίνησις ἐγένετο βαθεία
τοῦ βασιλέως, ὃς ἡδὺ τὸν ἥρωα θωπεύων
«ἐστίν»—ἐφώνησ'—«ἐπὶ γῆς οὐδεὶς ἡνιοχεύων

SISMANOGLIO MEGARO



ὡς ἄρα σύ»· **σοῦ** δ' ἕνεκα πορεύομαι δρομαῖος
ἐγὼ νυνί· διὸ γενοῦ πραΰς τε καὶ γενναῖος
ἐμοί· καθικετεύω σε! τὴν εὐτυχῆ πορείαν
μὴ διακόψῃς, ἄριστε! τὴν σὴν δ' ἐπιθυμίαν
τελέσω πᾶσαν ἄσμενος, ἐὰν ἀφικομένῳ
ἐκεῖσ' ἡλίῳ σήμερον ὁμοῦ μοι δυομένῳ
δακτύλῳ δείξῃς ἀτενεῖ τὴν τοῦ φωτὸς ἑστίαν»·
«οὐδέποτ' ἀναλήψομαι, λαγέτα, τὴν πορείαν,
ἐὰν μὴ νῦν»,—ἀπήντησεν—«ἐνθάδ' ἀπαριθμήσω
τὰ φύλλα καί σου τὴν δεινὴν ἐν ἔργῳ θεωρήσω
σοφίαν», «ἄγε»! τότ' εὐθὺς εἰπόντος οὐχ ἡδέως
τοῦ μέδοντος, «ἀρίθμησον, ἀμώμητε, ταχέως
τὸ μέρος, ὃ σοι δείκνυμι, τοῦ κλάδου», τὰς ἡνίας
ἀπολιπὼν ὁ Βάχυκος, μετὰ φιλοπονίας
ἡδέως ἀπηρίθμησε τὰ φύλλα τοῦ κλαδίου
καὶ θαυμασμοῦ κατάπλεως ὁ τάλας ἐξαισίου
«τοσαῦτ' εἰσὶν ὅσ' εἴρηκας»—ἐφώνησε—«τὴν θείαν
ἐφίεμαί σου, κοίρανε, μαθεῖν ἐγὼ σοφίαν»·
«τῶν ἀστραγάλων ἀληθής, ἡνίοχ', ἐπιστήμων»
—ἐκεῖνος ἀντεφώνησε—«καὶ σπάνιος εἰδήμων
εἰμὶ τῆς ἀριθμήσεως»· «ὦ! δός μοι τὴν σοφίαν»
—ἀπήντα—«τήνδ'»—ὁ Βάχυκος—«λαβὼν ἀντιμισθίαν
τὴν ἱππικήν, ὦ δέσποτα!»—Σπουδῇ τῆς ἐμπειρίας
τῆς ἱππικῆς ὁ κοίρανος καὶ τῆς ἡνιοχίας
ἀσμένως ἀπεδέξατο τὸ ῥῆμα καὶ ταχέως
«τὴν ἱππικὴν»—ἐφώνησε—«δεξάμενος ἡδέως
ἐκ σοῦ νυνί σοι δίδωμι τὴν ἔξοχον σοφίαν
τῶν ἀστραγάλων». Ἅμ' εἰπὼν αὐτίκα τὴν ἰδίαν

ἐκεῖνον ἐξεδίδαξε σοφίαν, ἣν μαθόντα
καὶ παντελῆ τοῦ πράγματος ἐπίγνωσιν λαβόντα
λιπὼν εὐθὺς ἐξέδραμεν ὁ Κάλης τῶν χειλέων
τοῦ Καρκοτάκου τὸν ἰὸν ὁ δαίμων ἐκπροχέων.
Νυνὶ δ' αὐτῷ τὴν ἐμφυᾶ μορφὴν ἀναλαβόντι
καὶ μετὰ δέους ἑαυτῷ καὶ σεβασμοῦ παρόντι
δεινὰς ἀρὰς ἀράσασθαι τῷ Νάλῳ βουλομένῳ
καθικετεύων ἔλεγε, σφοδρῶς ὀργιζομένῳ,
«ἡ σή μοι, δέσποτα, γυνὴ καθ' ἣν αὐτὴν ἡμέραν
ἐν τῷ δρυμῷ κατέλιπες πασῶν ἀθλιωτέραν
τῶν ἐπὶ γῆς ἀτυχουσῶν ὀργῇ συνεχομένη
δεινά μοι κατηράσατο, πικρῶς ὀδυρομένη
τῷ σῷ, δυνάστα, χωρισμῷ· διὸ κατειλημμένος
ἐν σοὶ διῆγον ἔκτοτε καὶ κατακεκαυμένος
τῷ τοῦ τῶν ὄφεων ἀγοῦ φαρμάκῳ, μεθ' ἡμέραν
καὶ νύκτωρ ὀδυνώμενος. Ἐκ τούτου νῦν ἑτέραν
τῆς ἐπὶ σὲ καταφυγὴν εὑρίσκων οὐδεμίαν
ἀντιβολῶ σε, τὸν θυμὸν ἐπίσχες· εὐτυχίαν
ἐγώ σοι, Νάλ', ἀειθαλῆ καὶ κῦδος ἐν ἀνδράσιν
ἀρίζηλον δωρήσομαι καὶ φῶς ἐν μυριάσιν
μερόπων ἔσῃ δι' ἐμοῦ· πρὸς σὲ καταφυγόντι
συγγνώμην ἔχε μοι νυνὶ καὶ χεῖρας ἀνασχόντι».
Ὁ μὲν ἀκούσας τὴν ὀργὴν ἐπέσχε τὴν ἰδίαν,
ὁ δὲ τοῦ φόβου τῆς ἀρᾶς ἀπαλλαγεὶς οἰκίαν
τὸ δένδρον ᾑρετίσατο ***βιφίτακον*** τιμήσας,
τοῖς ἄλλοις ὅλως ἑαυτὸν ἀόρατον τηρήσας·
ἐξ οὗ καὶ κλέος ἔλαβε τὸ δένδρον εἰς αἰῶνα.
Ὁ δὲ κλεινὸς ἀναλαβὼν ἐκ τούτου τὸν ἀγῶνα

SISMANOGLIO MEGARO



τὸν τῆς ὁδοῦ Νισάδιος, ἀελληδὸν ἰθύνων
τοὺς ἵππους εἰς τὰ Βίδαρφα καὶ θαυμαστῇ βραχύνων
πορείᾳ τὴν ἀπόστασιν ἀκράτῳ θυμηδίᾳ
περιερρέετο τὸν νοῦν, ἐν τάχει τῇ ἰδίᾳ
ἐλπίζων αὖθις ἔσεσθαι μορφῇ κεκοσμημένος,
τῆς ἀπορίας ἐντελῶς ἐκ τοῦδε λελυμένος.

## Τ

***Ταῦ*** *ὡς Κύνδινα δῖος ἐσῆλυθ' ἄναξ ὀρυμαγδῷ,*
*ᾧ Νάλον αἶψ' ἔγνω Φιμὶς ἄμ' ἐρχόμενον.*

Περὶ δ' ἑσπέραν, ὅτ' ἐγγὺς ἀνήγγειλαν ἐλθόντα
τῷ Φίμῳ τὸν ἡγήτορα καὶ δὴ ποθι παρόντα
πρὸ τῶν τειχῶν ἐφ' ἅρματος, ἐπένευσεν ἡδέως
τῷ βασιλεῖ τὴν εἴσοδον, ὁ δ' ἤλασεν εὐθέως
τοὺς ἵππους εἰς τὰ Κύνδινα, τῷ κρότῳ διασείων
τὰς ἀγυιὰς ὑπερφυῶς, ὡς εἴ τις αἰθερίων
ἠχὴ βροντῶν ἐκ νεφελῶν ἠκούετο σκοτίων
ἢ καταγείων ἰαχὴ δαιμόνων πολεμίων,
Ἡφαίστου πολυμήτιδος καὶ λάβρου Ποσειδῶνος
μεγαλοβρύχου καὶ δεινοῦ κυμαίνοντος ἀγῶνος.
Τῇ δ' ἰαχῇ περιχαρεῖς ἀνέπεμπον ἡδέως
φωνὰς ἀγαλλιάσεως ὀρθώσαντες ὀξέως
τὰς ἀκοὰς ἐλέφαντες μεθ' ἵππων καὶ ταώνων.
Ἰδίᾳ δ' ἡ πολύδακρυς τῶν ἀλγεινῶν ἀγώνων
τὸ τέρμ' οὐ πόρρω κείμενον ὁρῶσα Βιδαρφία
τὴν ἔξαλλον ἀκούσασα βοὴν ἐνεθουσία.

Λογιζομένη δ' ἔλεγεν ἐκείνη κατ' ἰδίαν
« ὤ! πόσον ὅδ' ὁ πάταγος πληροῖ μου τὴν καρδίαν
ἀγαλλιάσεως; ἐστὶν ὁ Νάλος ὅδ' ὁ θεῖος
ὁ νῦν ἐρχόμενος **αὐτός,** ὁ θαλερὸς καὶ δῖος!
Ἐὰν αὐτίκα μὴ τυχὸν ἐλθόντα θεωρήσω
τὸν εὐειδῆ τοῖς ὄμμασι μηδὲ καταφιλήσω
τὸν ὁμευνέτην ἥρωα, τὸν ἀρεταῖς μυρίαις
περιστεφῆ καὶ χάρισιν ἐκλάμποντ' αἰθερίαις,
τὸν ἐοικότα λέοντι τὴν ἔξοχον ἀνδρείαν,
μεγασθενεῖ δὲ τὴν ἰσχὺν ἐλέφαντι, πορείαν
ἀμελλητεὶ πορεύσομαι τραπεῖσα τὴν ἐσχάτην
καὶ τὴν ἀκτῖν' ἀθρήσω τήνδ' ἡλίου πανυστάτην.
Ἑκοῦσα δ' ἐπιλέλησμαι παντὸς ματαίου λόγου
καὶ ψεύδους, ὕβρεως αὐτῆς, εἰ γέγονε, καὶ ψόγου,
παρὰ τοῦ Νάλου τοῦ σοφοῦ καὶ πανταχοῦ τιμίου,
τοῦ μεγαθύμου δωρητοῦ, τοῦ δίου Νισαθίου!
τοῦ δ' ἀτενὴς ἡ τάλαινα καρδία μεμνημένη
τῶν ἀρετῶν ὀδύρεται πιστῶς ἀνακειμένη!»
Τοιαῦτα δίκην ἄφρονος ἡ δῖα μονῳδοῦσα
καὶ καλυκῶπις βασιλίς, ἐκεῖθεν ἀνελθοῦσα
πρὸς ὑπερῷον ὑψηλὸν ἑώρα τοὺς ἐλθόντας,
εἰς τοῦ μεγάρου τὴν αὐλὴν ἀρτίως εἰςβαλόντας.
Τοῦ δὲ τεθρίππου τῶν δισσῶν θεράπων καταβάντων
καὶ τοὺς ἀκαμαντόποδας εὐθὺς ἀπολυσάντων
καὶ θείους ἵππους, ὁ κλεινὸς μετὰ σπουδῆς μεγάλης
πρὸς τὸν ἡγέτην ἡγεμὼν εἰςέδραμε καὶ ζάλης.
Ὁ δὲ σπουδῇ τὸν ἄνακτα δεξάμενος ἡδέως,
οὐχὶ δὲ μάτην οὐδ' εἰκῇ τοσουτονὶ ταχέως



ἐλθεῖν αὐτὸν οἰόμενος, μετὰ φωνῆς ἠπίας
«ὡς εὖ παρέστης»—ἔλεγε—τῆς ἀληθοῦς αἰτίας
ἀγνὼς—καὶ «τί μοι, κοίρανε, νυνί σοι ποιητέον
ἢ τί προςέπεσ' ἄπορον, ὃ νῦν ἐμοὶ λυτέον;»
ὁ δ' εἰςορῶν οὐδέν' ἐκεῖ παρόντα βασιλέα
οὐδ' ἡγεμόν' οὐδὲ ταγὸν οὐδέ τιν' ἱερέα
οὐδέ τι σύμβολον ἁπλῶς, ἐμφαῖνον ὑμεναίους,
ἀλλ' ἡσυχίαν ἄγοντας καὶ πάνυ γαληναίους
ἐν τοῖς μεγάροις ἅπαντας «ὤ! μόνον ἵν' ἡδέως
ἀσπάσωμαί σε, κοίρανε, σπουδῇ τε καὶ ταχέως
εἰςαφικόμην»—ἔλεγεν—. Ὁ Φῖμος μειδιάσας
καὶ τίνος ἕνεκεν ὁδὸν ἐξήνυσε θαυμάσας
μακρὰν ὁρῶν ἐξήκοντα «μικράν μοι τὴν αἰτίαν
παρὰ πολὺ παρέστησεν»—ἐφράσατο—«φιλίαν
ἁπλῆν μοι προβαλόμενος τῆς νῦν ὁδοιπορίας·
ἀλλὰ τὸ μέλλον, οὐ τὸ νῦν ἀρεῖ τὰς ἀπορίας».
Ὁ μὲν ἐκ τούτων ἔπεμψεν ἐκεῖνον εἰς οἰκίαν
ἡτοιμασμένην ἕνεκεν αὐτοῦ πρὸς ἡσυχίαν·
ὁ δὲ Νισάθιος λαβὼν τὸ τέθριππον εὐθέως
καὶ τοὺς ἀκαμαντόποδας, ὡς ἦν εἰκός, ἡδέως
κομήσας ἵππους, εἶτα θεὶς εἰς τοὺς οἰκείους τόπους
τοὺς ἐξαισίους τῶν μελῶν ἀπεσοβεῖτο κόπους
ἐν τῷ τεθρίππῳ νωχελῶς καθίσας· ἡ δὲ θεία
τοιοῦτον οἷος ἦν ὁρῶσ' αὐτὸν Δαμαιαντία
«τίς ἦν ἐκεῖνος»—ἔλεγεν—«ὁ κρότος ὁ ταράσσων
τὰς ἀκοάς, ὡς ὁ βουνὸς ὁ πῦρ ἀνατινάσσων,
ὁ τοῦ τεθρίππου; μέγας ἦν ὡς ἄλλοτε τοῦ Νάλου,
ἀλλὰ τὴν ὄψιν οὐδαμῶς ἐν τῷδε τοῦ μεγάλου

ὁρῶ δυνάστορος ἐγώ· κατέχει τὴν σοφίαν
τὴν ἱππικήν, ὡς ἔοικεν, ὁ κοίρανος ὁμοίαν
ἐκείνῳ· καὶ ὁ Βάρσινος ἐγένετ' ἐπιστήμων
τοιοῦτος ὄντως οἷος ἦν ὁ σύζυγος ὁ τλήμων!
διὸ καὶ λίαν ὅμοιος ὁ κρότος ὁ τῶν ἵππων
ἐφαίνετό μοι τῷ κλεινῷ τοῦ Νάλου τῶν τεθρίππων».
Τοιαῦτα λέγουσ' ἄγγελον ἀπέστειλεν ὡραίαν,
ἵν' ἀγγελίαν ἐξ αὐτοῦ κομίσηται βεβαίαν.

## Υ

**Ὑ ψιλὸν** ὡς Φιμὶς πέμψ' ἄγγελον, ὄφρα Βαχύκου
ἔργα τ' ἴδοι μύθους τ' ἐγγύθεν ἱσταμένη.

Τὰ τοῦ Βαχύκου δὴ μαθεῖν ὁρμῶσ' ἐπιθυμίᾳ
τῇ θαλερᾷ προσέταττεν ἐκείνῃ Καισινίᾳ:
τῷ ξένῳ, τῷ μικρόχειρι, καλλίστη, προσελθοῦσα,
τῷ δυσειδεῖ, καὶ τῇ φωνῇ γλυκείᾳ προσειποῦσα
τὰ κατ' αὐτὸν ἐρώτησον ὁποῖος ὢν τυγχάνει·
διότι δόξα με δεινὴ τὸν νοῦν καταλαμβάνει,
ὡς ἔστιν ὅδ' ὁ φίλτατος· ἐφ' ᾧ με θυμηδία
σφοδρὰ κατέχει καὶ τρανῶς ἀγάλλετ' ἡ καρδία.
Εἰπὲ δ' αὐτῷ περαίνουσα καὶ τἄλλοτε λεχθέντα
ὑπὸ Παρνάδου τοῦ σοφοῦ καὶ τἄλλα τὰ ῥηθέντα
ἐκείνοις εἰς ἀπάντησιν». Ἐκείνη μεταβᾶσα
μετὰ σπουδῆς καὶ τῷ κλεινῷ Βαχύκῳ παραστᾶσα,
τῆς Βιδαρφίας πόρρωθεν ἠρέμα θεωμένης
καὶ τῇ παιδὶ τοῖς ὄμμασιν ὑψόθεν ἑπομένης,



«ὡς εὖ παρέστης!» — ἔλεγεν — «ὦ! χαῖρέ μοι, λαγέτα,
καὶ τῆς Φιμίδος ἄκουσον τὰ ῥήματ', ἱππηγέτα!
καὶ τίνος ἕνεκ' ἤλθετε κατὰ σπουδὴν ἐνθάδε
παρ' ἃ τις ἤλπιζ', ἡγεμών, — εἰπέ μοι —, τηνικάδε;
εἰπέ, δυνάστα, τἀληθές, μαθεῖν ἐπιθυμούσης
τῆς Βιδαρφίδος, ὡς εἰκός, καὶ νῦν ἀναμενούσης».
«Παρὰ βραχμᾶνος ὁ κλεινὸς καὶ κρατερὸς ἡγήτωρ»
— ἀπήντησεν ὁ Βάχυκος — «ἀκούσας ὡς εὐνήτωρ
ἠῶθεν ἔστιν αὔριον αἱρέσιμος τῇ δίᾳ
καινῶς, τοῖς ἀνεμώκεσιν, ἐσχάτῃ προθυμίᾳ,
γενναίοις ἵπποις ἔσπευσεν ἱκέσθαι τηνικάδε
ἐμὲ λαβὼν ἡνίοχον ὡς ἱκανὸν ἐνθάδε».
Κ. «Καὶ τίς ὁ τρίτος; καὶ γονὴν καὶ πόλιν ἔχει ποίαν;
καὶ τήνδε τίς ἀνέλαβες ὑπάρχων ἐργασίαν;»
Β. «Ἐστί, καλλίστη, Βάρσινος, ἡνίοχος τοῦ Νάλου·
τοῦ δὲ φυγόντος οἴκοθεν ὑπὸ δεινοῦ μεγάλου,
προσῆλθ' ᾧ νῦν ὑπηρετεῖ· κἀγὼ πρὸς μαγειρείαν
ᾑρέθην ἔπειτ' ὑπ' αὐτοῦ καὶ πρὸς ἡνιοχείαν».
Κ. «Γινώσκει δ' οὗτος οἷ ποτε παρῆλθεν ὁ λαγέτης;
καὶ πῶς σοι τόδ' ὁ συνεργὸς ἀπέφην' ἱππηγέτης;»
Β. «Ἀφ' οὗ ποτε παρέδωκε τοῦ Νάλου τὰ παιδία,
αὐτὸς μὲν ἀπεχώρησεν ὡς ἤθελ' ἡ καρδία,
γινώσκει δ' ἕτερον οὐδὲν περὶ τοῦ Νισαθίου
οὐδ' ἕτερός τις ἐπὶ γῆς, τοῦ θαλεροῦ καὶ δίου·
περιπολεῖ δ' ὁ δύσμοιρος ἀεί που κεκρυμμένος
ἀγνὼς ἀνθρώποις, ἀφανής, μεταμεμορφωμένος·
αὐτὸς ἐκεῖνος ἔξοιδε τὰ γεγονότα μόνος,
αὐτοῦ δὲ πλὴν ἐπὶ χθονὸς οὐδεὶς ἀνθρώπου γόνος».

Κ. «Ἀλλά τις ὅς ποτ' ἵκετο βραχμὰν εἰς Αἰωθίαν
ἀκούσας τάδε γυναικὸς ἐφώνει κατ' ἰδίαν:
«ὦ! δέομαί σου, ποῖ με σύ, ποῖ δὴ κεκοιμημένην,
ὦ παῖκτα! σύζυγα λιπὼν ἀεὶ πεφιλημένην
καὶ τὸν χιτῶνα διελών, ὃν εἶχον, ἐπλανήθης;
καὶ πῶς ἐκ τοῦ τολμήματος οὐδὲν συνεκινήθης;
Ἐκείνη δ' ἔτι σήμερον, ὡς ἦν ἐκτεταμένη,
ἐκθύμως ἀναμένει σε περικεκαλυμμένη
χιτῶνος ἡ ταλαίπωρος ἡμίσει, καιομένη,
τὸν ἐρατὸν ὁμόζυγα πικρῶς ὀδυρομένη.
Ὦ! χάριν ἤδη πάρασχε θρηνούσῃ καὶ κλαιούσῃ
καὶ δὸς ἀπόκρισιν αὐτῇ, τοιαῦτά σοι λεγούσῃ».
Εἰπὲ τὸν λόγον, ὦ 'γαθέ, τὸν ἀρεστὸν ἐκείνῳ
καὶ τῇ Φιμίδι γλυκερῷ γλυκὺν ὁμοίως οἴνῳ·
καὶ τὰ πρὸς τοῦτον ὑπὸ σοῦ πρὸς ἀμοιβὴν ῥηθέντα,
ἃ πάλιν ἐπεθύμησεν ἀκοῦσαι λαληθέντα».
Εἰπούσης ταῦτα τῆς καλῆς ἀγγέλου Καισινίας,
ὁ Νάλος ἤλγει τὸν θυμὸν ὑπὸ δεινῆς ἀνίας,
καὶ τῶν ὀμμάτων θαλερὸν τὸ δάκρυ καταχέων
βαρυπενθὴς ἐφθέγγετο, τὸ πῆμα καταδέων:
«καὶ δυστυχίαις, εἴ ποτε, μεγάλαις ἐμπεσοῦσαι
γυναῖκες μεγαλόφρονες καὶ δάκρυσι συνοῦσαι
διατηροῦσιν ἑαυτὰς καὶ τῆς ἐπουρανίας
ἐπαξιοῦνται χάριτος, οὐδέποτ' ἀδικίας
τῶν ὁμοζύγων, οὐδ' ἂν ὦσ' ἐναπολελειμμέναι,
ἐν τῇ καρδίᾳ μετ' ὀργῆς ἀλήστου μεμνημέναι·
διὸ λιμῷ τρυχόμενος καὶ κατακεκαυμένος
φροντίσι τὴν διάνοιαν, αὐτὴν δ' ἀφῃρημένος

SISMANOGLIO MEGARO



τὴν ἐφεστρίδ' ὑπὸ πτηνῶν, ἐν ὄρει τὴν δειλαίαν
ἀβούλως ὅτι προλιπὼν ἀφῆκεν ἐρημαίαν,
ἐκ τούτου μὴ διαμπερὲς ἡ μέλαιν' ὀργιζέσθω
τῷ συνευνέτῃ μηδ' ἀεὶ μνησίκακος γινέσθω
δυσμοίρῳ καὶ λιμώττοντι, χωρὶς ἡγεμονίας
ἐπανελθόντι ποτ' αὐτῷ καὶ δίχ' εὐδαιμονίας».
Τοῦ Νάλου ταῦτα λέγοντος, ἰδού! πηγαὶ δακρύων
τὰς παρειὰς κατέδευον ὡσεί τιν' ἀπ' ὀφρύων
ὀρέων ὕδατα πρανῶν, αὐτὴ δὲ προθυμίᾳ
ἐλθοῦσα ταῦτ' ἀπέφηνε θερμῇ τῇ Βιδαρφίᾳ.

## Φ

Φῖ δ' ὡς ὦ γλυκερὼ παῖδ' εἰσορόων παρεόντε
κλαῖεν ἄναξ ἥρως δάκρυα θερμὰ χέων.

Ἀφ' οὗ δ' ἀνήγγειλεν ἐκεῖν' ἐλθοῦσ' ἡ Καισινία,
περίλυπος ἐγένετο μαθοῦσ' ἡ Βιδαρφία·
ἀεὶ δὲ μᾶλλον εἶν' αὐτὸν ἐκεῖνον οἰομένη
τὴν Καισινίαν ἔπεμψε τὸ δεύτερον ἀσμένη
εἰποῦσα «παρατήρησον σιγῇ τὴν ἐργασίαν
ἐκείνου πᾶσαν, ἃ τελεῖ, καὶ μὴ πρὸς εὐκολίαν
ἢ πῦρ ἢ νᾶμα δῷς αὐτῷ, καλλίστη, βουλομένῳ·
εἰ δὲ σημεῖον ἐν αὐτῷ δεινόν, ἐργαζομένῳ,
ἰδοῦσα τύχοις, ἄγγειλον εὐθὺς ἐπανελθοῦσα».
Τοιοῦτον ἡ θεράπαινα διάταγμα λαβοῦσα
καὶ τὰ σημεῖα τοῦ σοφοῦ Βαχύκου κατιδοῦσα
ἐπιμελῶς ἃ δέδορκεν ἀνήγγειλεν ἐλθοῦσα:

«οὐκ εἶδον»—ἔλεγε—«βροτὸν οὐδ' ἤκουσα τοιοῦτον,
ὅς ἔργον ἐν ἠδύνατο τελέσαι τηλικοῦτον,
δεινὸν ἰδεῖν, ἡλίκον ὅδ', ᾧ θύραν ὁρμωμένῳ
χαμηλοτέραν διελθεῖν, οὐδὲν ἀλλοιουμένῳ
τὴν στάσιν, εἴκει προφανῶς εὐθὺς ἀνυψουμένη
κεὑρεῖα κατὰ βούλησιν ἐκείνη γινομένη.
Τοῦ Ριτυπάρνου δ' ἕνεκα ποικίλων ἐδεσμάτων
ἀποσταλέντων εὐωδῶν ἐκεῖσε καὶ κρεάτων
καὶ δαιδαλέων σύναμα περικαλλῶν ἀγγείων
χερνίβων ἕνεκ', ἀργυρῶν ἰδίᾳ λουτηρίων,
ἐκείνου μόνῳ βλέμματι καὶ νεύματι τ' ἀγγεῖα
ὑδάτων ἦσαν ἔμπλεα. Τοιαῦτα δὴ σημεῖα
καὶ τούτων ἔτι μείζονα παροῦσ' ἐθεασάμην
ἐκείνου, φίλη δέσποινα, καὶ θαῦμ' ἐποιησάμην:
ὑπὸ πυρὸς αὐτοῦ τὸ σῶμ' οὐ καίετ', ἁπτομένου,
αὐτίκα δ' ἀφανίζεται τὸ νᾶμα, βουλομένου
ἀλλ' ἔτι χλόης, χέρνιβι τὰς χεῖρας ἐκκαθάρας,
ἀνῆψε πῦρ ἐν δράγματι πρὸς ἥλιον ἐπάρας·
ἀλλ' ὅ μοι θαῦμα, δέσποινα, τὸ μέγιστον ἐφάνθη:
ἐάν που τρίψῃ τῇ χειρὶ λαβὼν ἐκεῖνος ἄνθη,
καλλίω κεὐωδέστερα καθίστανται ταχέως·
ἐγὼ δ' ἰδοῦσ' ἀνέδραμον ἐνθάδε μάλ' ἡδέως».
Πεισθεῖσα τότε τέλεον ἡ δῖα Βιδαρφία
ὡς ἥδε νῦν ἀνέφελος ἐπέλαμψεν εὐδία,
τοῦ ποθεινοῦ σαφέστατα συνάορος παρόντος,
ἐν τῷ Βαχύκῳ πρόδηλα σημεῖα παρασχόντος,
φωνῇ καὶ πάλιν ἔλεγεν ἡ πάγκαλος ἡδείᾳ
τῇ καλλικόμῳ δάκρυσιν αὐτίκα Καισινίᾳ:

SISMANOGLIO MEGARO



«πορεύθητι καὶ φέρε μοι, περικαλλές, ἐνθάδε,
εἴ πού τι παρεσκεύασεν ἐκεῖνος τηνικάδε
χερσὶν ἰδίαις ἔδεσμα»· λαβοῦσα δ' ἡ καλλίστη
μετὰ σπουδῆς τεμάχιον ἐδέσματος παρίστη
τῇ βασιλίδι· τοῦ δ' εὐθὺς ἐκείνη γευσαμένη,
βεβαίως ἤδη τὸν αὐτῆς ἐκεῖνον ἡγουμένη
ὁμόζυγον, ἀπέστειλε σπουδῇ μετ' εὐμενείας
αὐτῷ τὰ δύο φίλτατα μετὰ τῆς Καισινίας.
Ὁ δ' ἀνεγνώρισεν αὐτὰ καὶ δὴ δραμὼν εὐθέως
περιεπτύξατο θερμῶς, καταφιλῶν ἡδέως
καὶ δάκρυ χέων θαλερόν. Ἀλγῶν δὲ τῇ καρδίᾳ
ἀφεὶς τὸ ζεῦγος ἔλεγε τῇ δίᾳ Καισινίᾳ:
«τοδὶ τὸ ζεῦγος ὅμοιον τῷ τῶν ἐμῶν παιδίων
ὑπερφυῶς μοι τὰς αὐγὰς ἐνέπλησε δακρύων.
Ἀλλά σοι φήμης ἡ συχνή, χαρίεσσα, πορεία
ἡ πρὸς ἀλλότριον ἐμὲ κακόφρονος αἰτία
ἐν τῷ λαῷ καθίσταται· διό με προλιποῦσα
τοὺς ἐρατοὺς πορεύθητι θαλλοὺς παραλαβοῦσα».

## X

*Χῖ δὲ Νάλοιο λόγους ἀλόχοιό τε λισσομένη τε
πῶς ἀρετῆς κείνη μάρτυρος ἔσκ' Ἄνεμος.*

Τῆς Καισινίας, ὡς εἰκός, αὐτίκα μεταβάσης
καὶ τὰ γενόμενα σαφῶς ἐκείνῃ δηλωσάσης,
περιαλγὴς ἡ Βιδαρφὶς τὸν σύζυγον ποθοῦσα
πρὸς τὴν ἰδίαν ἔστειλε μητέρ' αὐτὴν εἰποῦσα:

«ποικιλοτρόπως ἱκανῶς ἐξερευνησαμένη
τὰ τοῦ Βαχύκου μέχρι τοῦδ', ἐκεῖνον ἡγουμένη
τὸν ὁμευνέτην εἶναί μοι, τὴν ὄψιν ἔτι μίαν
αὐτὸς ἐμοὶ τοῦ δισταγμοῦ καθίστησιν αἰτίαν,
ὦ μῆτερ! ὅθεν εἰςιδεῖν εὐθὺς ἐπιθυμούσῃ
παραστησάτωσαν αὐτὸν ἐνθάδ' ἐμοὶ παρούσῃ,
εἰδότος τοῦ γεννήτορος ἢ μή· καὶ δὴ ταχέως
τὸ πόθημά μοι τέλεσον ἤ μ' ἔλασον εὐθέως».
Τῆς θυγατρὸς ἡ βασιλὶς ἀκούσασα τὸ ῥῆμα
τῷ Φίμῳ διεδήλωσεν. Ἐκείνου παραχρῆμα
τὸ δόξαν ἐπαινέσαντος, εἰσήγαγεν ἡ δῖα
Φιμία τὸν ἡνίοχον εὐθὺς εἰς τὰ οἰκεῖα·
δεινὴ δέ τότ' ἐνέπεσεν ἀλλήλους εἰσιδόντων
ἐν ταῖς καρδίαις ἀλγηδών, ἁδρᾷ περιρρεόντων
ῥοῇ δακρύων θαλερῶν τὰς παρειάς. Εὐθέως
ἐνδυσαμένη φοινικοῦν ἡ βασιλὶς ἡδέως
ἐπιστενάζουσ' ἔλεγε τῷ ξένῳ λελυμένη
τὴν κόμην ἐμμελέστατα, πηλῷ κεκαλυμμένη
καὶ κόνει: μή που πρότερον ἐνέτυχες φυγόντι
καὶ τὴν ἰδίαν ἄκοιτιν ἡμισκεπῆ λιπόντι
τῶν ἀρετῶν εἰδήμονι βροτῷ; καὶ τίς ποτ' ἄλλος
ἐν τῷ δρυμῷ καθεύδουσαν ἐκείνην ἢ τὸ κάλλος
ὁ τοῖς Ἀσβίνοις ὅμοιος Νισάθιος ἡγέτης
ἀθῴαν οὖσαν ἔλιπεν, ὁμόζυγον εὐνέτης;
καὶ τί ποτ' ὑπ' ἐμοῦ παθὼν ἀπέλιπε κειμένην
τὴν ἐναντία τοῖς θεοῖς αὐτὸν ἐκλεξαμένην
ἀνακειμένην ὅμευνον; ἢ ποῦ τὸ παρρησίᾳ
πρὸ τῶν θεῶν αὐτῷ ῥηθὲν ***«ἐγὼ τῇ ἀληθείᾳ***

SISMANOGLIO MEGARO



***συνέσομαί σοι τοῦ λοιποῦ»,*** τὴν χεῖρά μοι λαβόντι
μετ' εὐλαβείας καὶ πυρὸς ὑψόθεν ἀνασχόντι»;
Τὸ δάκρυ κατειβόμενον τῆς εὐειδοῦς Φιμίδος
ἐκ τῶν ὀμμάτων εἰσορῶν ὁ Νάλος καὶ νοτίδος
τοὺς ὀφθαλμοὺς ὑπόπλεως αὐτὸς τῇ ποθουμένῃ
συζύγῳ τάδ' ἀπήντησε καταλελυπημένῃ:
«τὴν βασιλείαν, ὦ δειλή, καὶ τὴν εὐδαιμονίαν
ὁ δύσμοιρος ἀπώλεσα καὶ σὲ τὴν ἐρασμίαν
ἐν τῷ δρυμῷ κατέλιπον οὐκ ὢν αὐτὸς αἰτία,
φιλτάτη, πάντων οὐδαμῶς, ἀλλ' ἦν ἡ μοχθηρία
τοῦ Κάλου τούτων αἴτιον, ᾧ πρίν, ὀδυρομένη
ἐμὲ τὸν ὁμοδέμνιον, ἀνίᾳ θλιβομένη,
ἀρὰν ἠράσω τότ', ὑφ' ἧς ὡς πῦρ ὑπὸ μυχίου
πυρὸς ἀεὶ φλεγόμενος ἐκεῖνος ἐξαισίου
κατῴκει τέως ἐν ἐμοί, διὰ τῆς εὐσεβείας
ἐνδελεχῶς ἡττώμενος καὶ τῆς ἐπιμελείας·
αὐτοῦ δὲ νῦν ἀπαλλαγεὶς ἐγὼ τῆς παρουσίας,
ἧςτινοςοῦν ἐλεύθερος ἑτέρας ἐργασίας,
**σοῦ** μόνης ἦλθον ἕνεκα. Καὶ πῶς ποτε λιποῦσα
πιστόν, προσανακείμενον εὐνέτην ἡ φιλοῦσα
συνάορ αὖθις ἕτερον αἱρεῖται, μακαρία!
καθὰ σὺ νῦν; περιπολεῖ δ' ἀρτίως ἀγγελία
θυμοδακής, ὠκύπτερος ἀν' ὄρη καὶ πεδία
κελεύσει τοῦ δυνάστορος «εὐνέτην ἡ Φιμία
ἑλεῖσθαι μέλλει δεύτερον ἡ δῖα κατ' ἰδίαν
ἐν οὐ πολλῷ προαίρεσιν καὶ κατ' ἐπιθυμίαν».
ὁ δὲ κλεινὸς ὡς ἤκουσε τὸ γεγονὸς ἀρχέτης,
ὁ Ριτυπάρνος, ἔδραμεν, ἐγὼ δ' ὡς ἱππηγέτης

αὐτῷ συνηκολούθησα». Τοιαῦτα μεμψαμένῳ,
πρὸς ἃ δὲ πάλιν ἤκουσεν ἀπολογησαμένῳ
τῷ Νάλῳ τρέμουσ' ἡ πιστὴ γυνὴ καὶ δειλιῶσα
μετὰ δακρύων ἔλεγε θερμῶν, ἐρυθριῶσα:
«ὦ! μηδεμίαν, ἄριστε! συλλάβῃς ὑποψίαν
ὡς εἰργασάμην οἱανοῦν βαρεῖαν ἁμαρτίαν,
ἢ **σέ,** λιποῦσα τοὺς θεούς, εἱλόμην εὐνετῆρα
καὶ **σὲ** ποθοῦσα πανταχόσ' ἀπέστειλ' ἀγγελτῆρα
βραχμάνων ὅμιλον σοφῶν, ἐπιμελῶς ᾀδόντων
τὰ ῥήματ' ἅπερ εἴρηκα καὶ σάφ' ἀπαγγελλόντων.
Παρνάδου δ' εἶτα τοῦ σοφοῦ, κλεινέ, σοὶ ταῦτ' εἰπόντος
ἐν τῇ Κωσάλῃ καὶ τὴν σὴν ἐμοὶ διεξελθόντος
ἀκέσιον ἀπόκρισιν ἐνθάδ', ἀπειργασάμην
τὸν δόλον, ἵν' ἀγάγω σε· καὶ τοῦτον ἐφρασάμην,
ὡς οὐδενὸς ὑπάρχοντος ἑτέρου μεγιστάνων
ἐπ' ἀληθείας ἱκανοῦ τοσαύτας ἰοζάνων
ἑκατοντάδας ἐν μιᾷ τεθρίππῳ τοῦ ἡλίου
διαδραμεῖν περιφορᾷ διὰ τῆς αἰθερίου,
δυνάστα, χώρας, ἧς ἐγὼ σημεῖον ἀληθείας
τῶν σῶν ἐφάψομαι ποδῶν, ὡς οὔποτε κακίας
οὐδὲ στιγμὴν ἐμοὶ βουλὴ διῆλθε τὴν καρδίαν.
Καὶ τούτου δώσει σοι τρανὴν ἀμέσως μαρτυρίαν
ὁ θεῖος μάρτυς Ἄνεμος ὁ πνέων ἀϊδίως
καὶ τὰ τῶν ζώων ἐφορῶν ἀνὰ τὴν γῆν ἰδίως·
λυσάτω δή μοι τὴν ζωήν, ἰδού! πρὸς ἐξουσίαν,
εἰ μέχρι τοῦδέ τιν' ἁπλῶς ἐτέλεσ' ἁμαρτίαν!
ὁ τῆς ἡμέρας δδ' ἁγνὸς ἀστὴρ ὁ σελασφόρος
ὡς ἡγεμὼν ἀν' οὐρανὸν ὁδεύει νικηφόρος!

SISMANOGLIO MEGARO



αὐτὸς λυσάτω τὴν ζωὴν ἐμοὶ πρὸς ἐξουσίαν,
εἰ δή ποτέ τιν' ἄχρι νῦν ἐτέλεσ' ἁμαρτίαν!
ἡ τανυσίπτερος ἐκεῖ διαπερᾷ Σελήνη
τὸν οὐρανόν, ἡ φαεινὴ νυκτοποροῦσα Μήνη!
αὐτή μοι δότω τελευτὴν εὐθὺς ἐπ' ἐξουσίας,
εἰ δή ποτέ πως ἔνοχος εὑρέθην ἁμαρτίας!
οἱ τῶν τριῶν συνεκτικοὶ μοιρῶν τῆς ὑψηλίου
τρισσοὶ δυνάσται τἀληθὲς ἐνθάδ' ἐξ ὑπογυίου
φανερωσάτωσαν εὐθὺς ἐμοὶ προσμαρτυροῦντες
ἢ προλιπέτωσαν ἐμὲ σιγῇ περιφρονοῦντες».
Ὁ ταχυπέτης Ἄνεμος ὑψόθεν ἀντηχήσας
εὐθὺς ἡδέως ἔλεγε τῷ Νάλῳ προσφωνήσας:
«οὐδὲν οὐδέποτ' ἥμαρτεν ἡ Δαμαϊαντία!
φωνῶ σοι, Νάλε, τἀληθὲς ἐκείνης ἐναντία!
ἐπιμελῶς ἐτήρησε τὰς ἀρετὰς ἡ θεία,
καὶ τούτου μάρτυρες ἡμεῖς παρῆμεν ἔτη τρία·
καὶ σοῦ δὲ χάριν ἀληθῶς ἐφράσατο τὸν δόλον,
ὡς οὐδενὸς τῶν ἡγετῶν μιᾷ τὸν χῶρον ὅλον
ἀνύειν ὄντος ἱκανοῦ μεθ' ἵππων ἐν ἡμέρᾳ
ἢ σοῦ· διὸ παράλαβε τὴν εὔνιν ἐλευθέρᾳ
ἀμφιβολίας τῇ ψυχῇ, λαγέτα!» λαλουμένων
εἰσέτι τούτων, ὑετὸς ἀνθέων χεομένων
ἐξ οὐρανοῦ κατέπιπτε, καὶ θεία μελῳδία
τυμπάνων εἰσηκούετο, καὶ δροσερὰ θωπεία
λιγὺ ζεφύρου πνέοντος ἐπῆν. Τὸ μέγα θαῦμα
τοῦ Νισαβίου τῆς ψυχῆς ἰάσατο τὸ τραῦμα!
τοῦ δὲ τῶν ὄφεων εὐθὺς ἀναμνησθεὶς ἡδέως
ἀρχέτου τὴν ἀκόνιτον ἐκείνην ὅδ' εὐθέως

περιεβάλετο στολήν. Ἐκ τούτου τὴν ἰδίαν
ἀνέλαβ' ὄψιν αὐθωρόν· αὐτὸν δὲ τὴν οἰκείαν
θεασαμένη φέροντα μορφὴν ἡ Βιδαρφία
μετὰ δεινῆς ἠσπάσατο βοῆς ἡ μακαρία·
καὶ τὴν Φιμίδ' ὁ σύζυγος, περιλαμπὴς τῷ κάλλει,
ὡς ἄνθος νέον ἔαρι μετὰ χειμῶνα θάλλει,
τοιοῦτος ἠγκαλίσατο τὴν εὐειδῆ συμβίαν,
καὶ τὴν καλλίστην, ὡς εἰκός, τῶν παίδων συζυγίαν·
τὴν μέντοι μειλιχόμειδον ὁ δῖος νεανίας
θερμῶς περιπτυξάμενος ὑπὸ μακρᾶς ἀνίας
κατειλημμένος ἵστατο· κατὰ ταὐτὰ δ' ἡ νέα
καὶ μεγαλόφθαλμος Φιμίς, ἀφ' οὗ τὸν βασιλέα
τῷ στήθει κατησπάσατο, δεινῇ κατειλημμένη
ὁρμῇ φρενὸς ἐστέναζε μεγάλα θλιβομένη·
τὸ δ' ὅλον, ὡς ἐγένετο, τῆς γεραρᾶς ἰδούσης
μητρὸς καὶ τῷ δυνάστορι περιχαρῶς εἰπούσης,
«τὸν Νάλον»—εἶπεν ὁ κλεινὸς—«ἡδὺ διαγαγόντα
τὴν νύκτα καὶ λουσάμενον, εἶθ' οὕτω προσελθόντα
ἡδέως ὄψομ' αὔριον σὺν τῇ Δαμαιαντίᾳ».
Ἐκεῖνοι δὲ διήγαγον ἐν ἄκρᾳ θυμηδίᾳ
τὴν νύκτα, διηγούμενοι τὴν ἐν τῷ δάσει πᾶσαν
ἀλλήλοις περιπλάνησιν, τὴν ἄλλοτε συμβᾶσαν.
Τοῦ δ' ἱεροῦ τετραετῆ τυχὼν μετ' ἀπουσίαν
συζυγικοῦ ποθήματος ὁ Νάλος εὐτυχίαν
ὁ πολυτλήμων ἄρρητον ᾐσθάνετ', ἡ δὲ θεία
τῷ συνευνέτῃ συνελθοῦσ' αὐτῇ Δαμαιαντία
καλλίων ἅμ' ἐγένετο καὶ πάσσων εὐθυμοῦσα
ὡσεί που χθὼν ἐρίβωλος, ἀρδεύσεως τυχοῦσα,



καρποφυοῦσα νεωστί· τοῦ δὲ δεινοῦ λυθεῖσα
ὡς ἐν νυκτὶ πανσέληνος ἀπέλαμπε φανεῖσα.

## Ψ'

Ψῖ δὲ Νάλου γένεθ' ὡς παλινάγρετα πάματα πάντα
καὶ χθονὸς ἔσκ' αὖτις κοίρανος ἠγαθέης.

Ἀφ' οὗ δ' ἡ μελανόπτερος ἐρατεινὴ ταχέως
ἀπέπτη νύξ, ἀριπρεπὴς ὁ θαλερὸς εὐθέως
τῶν Νισαθίων ἡγεμὼν ὁμοῦ τῇ Βιδαρφίᾳ
εὐκαίρως ἐπεσκέψατο τὸν ἄνακτα βαθείᾳ
σὺν εὐλαβείᾳ προσειπών. Ὁ δ' ὡς υἱὸν ἡδέως
ὑποδεξάμενος αὐτὸν ἠσπάσατο, βαθέως
ἀνὰ θυμὸν γηθόμενος καὶ τὴν Δαμαιαντίαν
παρεμυθήσατο, πατὴρ ὡς παῖδα τὴν ἰδίαν.
Τῆς δὲ τιμῆς, ὡς ἦν εἰκός, παρὰ τοῦ βασιλέως
τυχὼν ὁ Νάλος εὐσεβῶς τὴν ἑαυτοῦ ταχέως
ὑποταγὴν ἐδήλωσεν. Ἐνθάδε θεσπεσία
φωνή, χαρᾶς ἐξάγγελος, καὶ μουσικῶν μυρία
ὀργάνων εἰσηκούετο βοή, τοῦ Νισαθίου
τὴν εὐτυχῆ τῶν πολιτῶν ἐπάνοδον τοῦ δίου
ἑορταζόντων ἐμμελῶς καὶ τὰς ὁδοὺς αὐλαίαις
καὶ καλλιπνόοις ἄνθεσι ποικίλοις καὶ σημαίαις
διακοσμούντων ἀγλααῖς καὶ τοὺς βωμοὺς τιμώντων
καὶ φύλλ' ἀνθέων εὔοσμα πρὸ τῶν θυρῶν ῥαινόντων.
Ὁ Ριτυπάρνος ἄλλοθεν ὁ κοίρανος ἀκούσας
τὰς ἐξαισίους ἰαχάς, τὴν εὐτυχῆ δηλούσας

τοῦ Νισαθίου κάθοδον καὶ τῇ Δαμαιαντίᾳ
τῇ ποθεινῇ συναύλισιν, ἐχάρη τῇ καρδίᾳ,
καὶ προςελθὼν ᾐτήσατο συγγνώμην ἐσκεμμένως
παρὰ τοῦ Νάλου, παρ' αὐτοῦ δ' ἐκεῖνος ἡδομένως.
'Ο δ' ὑπὸ θάμβους ἔλεγεν «ὤ! χαῖρε! τῇ συμβίᾳ
συγχαίρω συνελθόντι σοι, Νισάθιε, τῇ δίᾳ.
'Ω! μή σε πρότερον ἀγνῶτ' ἐν τοῖς ἐμοῖς μεγάροις
οἰκοῦντα κατελύπησα καὶ δυσμενῆ βλεφάροις
ἀπηύθυνά σοι βλέμματα, μεγάθυμ', ἐκ προνοίας
ἢ μή, δυνάστα; σύγγνωθι νυνί μοι μετ' εὐνοίας».
«οὐδὲ βραχύ μ' ἐλύπησας, ἀγακλυτέ, καιρίως»
— ὁ Νάλος εἶπε— «πρότερον. Εἰ δέ τι καὶ μετρίως
ἐλύπησάς ποτε, καὶ τοῦτ' ἐμοὶ συγχωρητέον
ἑταίρῳ τ' ὄντι σοι τὸ πρὶν ἐμῷ, καὶ τούτου πλέον,
ὁμαίμονι τυγχάνοντι. Καὶ τοῦ λοιποῦ φιλίαν
ἐμοὶ ποιοῦ, μεγάθυμε· διότι θυμηδίαν
διῆγον ἔχων παρὰ σοὶ διηνεκῶς, ὁποίας
μετεῖχον ἔνδον οὐκ ἀεί, δυνάστα, τῆς οἰκίας
ἐν τῇ πατρίδι τῆς ἐμῆς, τῶν ἐφετῶν ἡδέως
χορηγουμένων ὑπὸ σοῦ κατὰ σπουδὴν εὐθέως.
Νυνὶ δ', εἰ πάθος ἔχει σε τῆς ἱππικῆς σοφίας,
ἐπιθυμῶ σοι δοῦν' αὐτὴν εὐθὺς ἀπὸ καρδίας».
Λαλήσας οὕτως ἔδωκεν αὐτῷ τὴν ἐπιστήμην
τὴν ἱππικήν, ὁ δ' ἄσμενος εἰς τὴν ἰδίαν μνήμην
τὸ δῶρον ἐναπέθηκε, καὶ παρευθὺς οἰκέτην
λαβὼν ἐκεῖθεν ἕτερον ὁ δῖος ἱππηγέτην
ἀπῆλθεν οἴκαδε· μεθ' ὃν ὁ κοίρανος ἑτέρας
ἐν τοῖς Κυνδίνοις οὐ πολλὰς ἐξήνυσεν ἡμέρας.



## Ω

**Ὦ μέγα** δ' ὡς τέλος οἴκαδ' ἅμ' σὺν θαλέοιν ἀλόχῳ τε
νοστήσας ὄλβου γεύετ' ἀπειρεσίου!

'Εκεῖ δὲ μῆνα μείνας ἕν' ὁ Νάλος ἐπὶ τέλους,
ἀφ' οὗ χαρᾶς ἐξήνυσεν ἡμέρας ἀνεφέλους,
τὸν Φῖμον ἀσπασάμενος φιλήμασιν ἡδίστοις
ᾤχετο σὺν ἐλέφασιν ἑκκαίδεκα μεγίστοις
πεντηκοντάδι τ' εὐγενῶν, ἀελλοπόδων ἵππων
εἰς τὴν οἰκείαν, ἐπιβὰς ἀρίστου τῶν τεθρίππων,
ἑξακοσίων ὁπλιτῶν ὁμοῦ πορευομένων,
δι' ὧν διήρχετο χωρῶν ἀξεὶ σαλευομένων.
Εἰςῆλθε δ' εἰς τὰ Νίσαθα ταχὺς καὶ δειμαλέος
ὑπὸ θυμοῦ φλεγόμενος. Αὐτίκα θαρραλέος
τῷ κασιγνήτῳ προςελθών, ἀφ' οὗ μετὰ γλυκείας
τὸ «χαῖρε» προσεφώνησε φωνῆς, μετ' εὐγενείας
«ἰδού! καιρός!» —ἐφώνησεν— «εἰς παίγνιον οὐσίαν,
ἡγέτα, κέκτημαι πολλήν· καὶ τὴν Δαμαιαντίαν
αὐτήν, εἰ βούλει, τίθημι νυνί σοι τοῦ παιγνίου
βραβεῖον ὅσα τ' ἔστι μοι καὶ δή μοι καὶ τοῦ βίου
τὴν ἐξουσίαν. 'Αλλ' αὐτὸς ἐμοὶ τὴν βασιλείαν
προθήσεις ἅμα τῇ ζωῇ καὶ τὴν περιουσίαν
ὡς ἆθλον. Εἶα! Πούσκαρε! καθῆκον ἡγεμόσιν,
τοῖς ἐν παιγνίῳ τὴν ἀρχὴν ἑτέρων εἰληφόσιν
ἢ τὴν οὐσίαν, ὕψιστον ἐκείνοις ἀτυχοῦσιν
ἀντιδιδόναι παίγνιον εὐθέως, ἐξαιτοῦσιν.
Εἰ δὲ παιγνίῳ μὴ δοκεῖ, κλεινέ, μονομαχίᾳ
κριθέντες, οὕτως ἄγωμεν ζωὴν ἐν ἡσυχίᾳ·

SISMANOGLIO MEGARO

«θηρᾶσθαι μηχανήμασι παντοδαποῖς οὐσίαν
πατρῴαν» ἔλιπον ἡμῖν οἱ πάλαι νουθεσίαν».
Ἀκούσας εἶπε μειδιῶν ὁ Πούσκαρος, βεβαίαν
αὐτῷ τὴν νίκην εἰςορῶν αὐτίκα καὶ μοιραίαν,
«ὡς εὖ εἰς ἀντιπαίγνιον ἀρίζηλον οὐσίαν
ἐκτήσω πάλιν! ὡς δὲ νῦν ἐμοὶ κατ' εὐτυχίαν
τὸ δύσπορον ἐχώρησε τῆς ἐρατῆς Φιμίδος
εἰς τελευτήν! ὡς εὖ δὲ ζῇς μετὰ τῆς ὁμευνίδος!
ἐν οὐ πολλῷ κυρίῳ μοι τοῦ πλούτου γενομένῳ
τοῦ σοῦ βεβαίως ἡ κλεινὴ παρέσται γηθομένῳ
καθάπερ ἡ καλλίκομος Ἀψάρασις τῷ Σάκρῳ
ἐν οὐρανῷ, τῷ τῶν θεῶν ἡ καλυκῶπις ἄκρῳ.
Ἀεί σε, Νάλ', ἀνέμενον ἡδέως μεμνημένος
ὡς οὐδεμίαν ἡδονὴν ἐς τόδ' ἀρηρυμένος
ἐκ τοῦ παιγνίου, δέσποτα, τοῦ μετὰ τῶν ἑταίρων·
διὸ συμπαίκτης, ὡς ἐρᾷς, γενήσομαί σοι χαίρων,
ἡ δ' ἐρατή μ' εὐδαίμονα ποιήσει Βιδαρφία,
πρὸς ἣν ὠθεῖ μ' ἀνέκαθεν ἡ τάλαινα καρδία».
Τοῦ δὲ τοῖς λήροις ὁ κλεινὸς ἐρεθισθεὶς βαθέως
φασγάνῳ σχίζειν ἤθελε τὴν κεφαλὴν ὀξέως,
ἀλλὰ σοφίᾳ τῷ θυμῷ παρὰ πολὺ μετρίως
ὁ Νάλος εἶπε χρώμενος καὶ μειδιῶν ἠπίως:
«πρὸς τί ληρεῖς; μελέτω σοι, δυνάστα, τοῦ παιγνίου·
τοῦ λήρου παύσῃ παρευθὺς ἀποστερεῖς τοῦ βίου»!
Τῷ πρώτῳ δ' εἶτα νικηθεὶς ὁ Πούσκαρος παιγνίῳ
χρυσοῦ καὶ λίθων ὤλεσεν ὁμοῦ τῇ βασιλείῳ
πληθὺν ἀμύθητον ἀρχῇ. Τῷ δ' εἶπε μειδιῶντι
ὁ Νάλος ἤδη βλέμματι νικῶν «***ἐμοὶ*** νικῶντι



ἥδ' ἔστι νῦν ἡ τυραννὶς ἡ πολεμιολέτις
ἀκύμων ὅλη, κάκιστε ταγῶν· ἡ δ' ὁμευνέτις
ἡ καλλιβλέφαρος ἐμὴ κλεινὴ Δαμαιαντία
οὐδέποτε παρέσται σοι πρὸς ὄψιν ἐναντία.
***Αὐτῆς*** αὐτός, ἠλίθιε, σὺν πᾶσι τοῖς οἰκείοις
ἐγένου δοῦλος! οὐδ' αὐτός μ', ὦ μῶρε, τοῖς μυρίοις
ἐνίκας ἀτυχήμασι τὸ πρίν, ἀλλ' ὑπὸ Κάλου
τοῦ δαίμονος ὑπέμενον ἐκεῖνα τοῦ μεγάλου·
ἀλλ' ἣν ἀνῆψεν ἕτερος ὀργὴν ἐμοῦ βαθεῖαν
οὐ τρέψω, τάλαν, ἐπὶ σὲ τὸ νῦν ἐγὼ βαρεῖαν·
ἀλλά σοι τὴν ἐπήρατον ἐγὼ ζωὴν ἡδέως
μεθ' ὧν ἰδίων ἀγαθῶν εὐδαιμονίᾳ τέως
συνὼν αὐτὸς ἐκέκτησο δωροῦμαι καὶ φιλίας
ἀεί σε θήσω κοινωνὸν ἐγὼ καὶ προσηνείας,
ὁμαίμοντ' ὄντα, τῆς ἐμῆς. Ἐτῶν ἑκατοντάδα
ἐμοῦ γε ζώῃς ἕνεκα καὶ πλείονα, γεννάδα!»
Τοιούτοις ὁ Νισάθιος τὸν ἀδελφὸν ἡδέως
παρηγορήσας ῥήμασιν ὁ κρατερὸς εὐθέως
εἰς τὴν οἰκειαν ἔπεμπε περιπαθῶς φιλήσας·
ὁ δ' εὐλαβῶς ὑποκλιθεὶς ἀπήντησε φωνήσας:
«ἀμάραντος ἡ δόξα σοι γενέσθω καὶ μυρίους
ὁρῴης φῶς ἐνιαυτοὺς ἡλίου τρισολβίους,
ζωήν τε δωρησάμενος ἐμοὶ καὶ τὴν οὐσίαν!»
Μετὰ δ' ἑνός που θυμαρῆ μηνὸς φιλοξενίαν
ἀπῆλθε χαίρων οἴκαδε μετὰ στρατοῦ μεγάλου
καὶ θεραπόντων ὀτρηρῶν, αἰνέσαντος τοῦ Νάλου,
καὶ συγγενῶν, ὡς ἥλιος ἐκλάμπων· ὁ δ' εὐθέως
εἰς τὴν ἰδίαν ὁ κλεινὸς Νισάθιος ἡδέως

SISMANOGLIO MEGARO

εἰσῆλθε πόλιν ὄλβιος, ἁβρῶς κεκοσμημένην
ποικιλοχρόοις ἄνθεσι καὶ κεκαλλωπισμένην.
Ἐκεῖ δ' ἠπίᾳ τοὺς ἀστοὺς αὐτίκα προσελθόντας
παρεμυθήσατο φωνῇ, τεκμήρια διδόντας
ὑπακοῆς. Οἱ δὲ χαρᾷ πολλῇ τεταραγμένοι,
ἀστοὶ καὶ πρῶτοι σύμβουλοι κἀγρόται, πεπλεγμένοι
τὰς χεῖρας εἶπον «εὐτυχεῖς ἡμεῖς ἐληλυθότες
ἐνθάδε, κοίρανε, νυνὶ καὶ προςενηνοχότες
λατρείαν σοὶ τῷ μέδοντι, τῷ λαγετῶν ὑπάτῳ
τοιαύτην, οἵαν οἱ λοιποὶ θεοὶ τῷ Σατακράτῳ».
Εὐθὺς ἐκ τούτων ὁ κλεινὸς τὴν εὐειδῆ συμβίαν
μετὰ στρατοῦ κατήγαγε μεγάλου, τὴν ὀλβίαν·
ὁ δὲ μεγάθυμος αὐτὴν εὐώδωσε γενέτης
πολλῶν ἐμπλήσας ἀγαθῶν, ὁ δυνατὸς ἡγέτης.
Ἐπανελθούσης οὕτω δὴ τῆς ἀγλαᾶς Φιμίας
μετὰ τοῦ ζεύγους τῶν θαλλῶν, ὁ Νάλος εὐθυμίας
ἐνδελεχοῦς ἀπήλαυεν ὁ δῖος ἱππηγέτης,
ἐν τῷ Νανδάνῳ τῶν θεῶν ὁποίας ὁ λαγέτης·
μετέπειτα δ' ἀράμενος ἐν ἡγεμόσι κλέος
τὴν χώραν, ἣν ἀπέλαβε, διῴκει κατὰ χρέος·
καὶ θύματα προςέφερεν ὁ σθεναρὸς ποικίλα
τοῖς ἀθανάτοις εὐαγῶς, εὐήρη τε καὶ φίλα.

# ΣΗΜΕΙΩΣΕΙΣ

Γλώσσῃ πρὸς τὸ ἐπύλλιον ἐχρησάμην ἀρχαϊζούσῃ μὲν ὅλως, οὐ μὴν (ἐμοὶ δοκεῖν) ἀσαφῆ τοῖς ἀναγινώσκουσιν, ἀλλὰ πᾶσιν εὐληπτόν τε καὶ σαφῆ τοῖς ᾗ δήποτε τὸ ἀρχαῖον ἰδίωμα μεμυημένοις. Εἰ δέ που λέξεις ἢ φράσεις εἰς τὸ κείμενον εἰςέφρησαν ἔστιν ὅθ' Ὁμηρικαὶ καθάπερ **εἴκελος, εὖνις, ἀλίγκιος, ἄκοιτις,** ἀσαφὲς μὲν οὐδ' ὁπωστιοῦν ἐκ τούτων (ἔμοιγε δοκεῖν) ἐγένετο τὸ ὅλον, τῇ δὲ μνήμῃ λάβρῳ ποτὲ φερομένῃ καί τι τοιοῦτον, ὡς εἰπεῖν, ὑποβαλλούσῃ παράβολον[1] οὐχὶ καλὸν οὐδὲ ῥᾴδιον ἴσως ἂν ἦν ἐναντιωθῆναι. Διὸ συγγνώμην ἡμῖν ἐχέτωσαν αἰτουμένοις οἱ φίλοι, εἴ τι παρὰ τὸ δοκοῦν ἐκείνοις ἐγένετο.

## ΕΙΣΑΓΩΓΗ

Σελ. δ' 17, 18: Ἀριστ. Πολ. 1, 2: ἀνάγκη συνδυάζεσθαι ....... θῆλυ καὶ ἄρρεν τῆς γενέσεως ἕνεκεν (οὐκ ἐκ προαιρέσεως, ἀλλ' ὥςπερ ἐν τοῖς ἄλλοις ζῴοις φυσικὸν τὸ ἐφίεσθαι, οἷον αὐτό, τοιοῦτον καταλιπεῖν ἕτερον).

Ἰδὲ Ὀππιανοῦ Κυνηγ. Β 43 κἑ. καὶ Ἁλιευτ. Λ 473 κἑ. Ovid. Fast. 4. 99 κἑ.

*Quid genus omne creat volucrum nisi blanda voluptas?*
*nec coeant pecudes, si levis absit amor.*
*Cum mare trux aries cornu decertat; at idem*
*frontem dilectæ lædere parcit ovis.*
*Deposita sequitur taurus feritate juvencam,*
*quem toti saltus, quem nemus omne tremit*
*Vis eadem lato quodcumque sub æquore vivit*
*servat, et innumeris piscibus implet aquas.*

1. Οἷον ἐν σελ. 96 στ. 27 τὸ τῆς Ὀδυσσ. Σ 195.

SISMANOGLIO

Σελ. η' πρβλ. Πλατ. Νομ. Ε' 731 Ε' τυφλοῦται περὶ τὸ φιλούμενον ὁ φιλῶν, ὥςτε *κρίνει κακῶς* ..... *τὰ καλά*, τὸ αὐτοῦ πρὸ τοῦ ἀληθοῦς ἀεὶ τιμᾷν δεῖν ἡγούμενος.

Σελ. ια' πρβλ. Πλατ. Νομ. 719 C: Μῦθος παλαιός........ ὅτι ποιητής, ὁπόταν ἐν τῷ τρίποδι τῆς Μούσης καθίζηται, τότε οὐκ ἔμφρων ἐστίν, οἷον δὲ κρήνη τις τὸ ἐπιὸν ῥεῖν ἑτοίμως ἐᾷ καί, *τῆς τέχνης μιμήσεως οὔσης*, ἀναγκάζεται ἐναντίως ἀλλήλοις ἀνθρώπους ποιῶν διατιθεμένους ἐναντία λέγειν αὑτῷ πολλάκις.

## Α

***Νίσαθα*** (Σανσκρ. Nishadâh, πληθ. τοῦ Nishadah)· δοκεῖ δὲ μέρος γενέσθαι τῆς νεωτέρας *Kumaon* ἐν τῇ καθ' ἡμᾶς Ἰνδικῇ· γενέσθαι δὲ λέγεται μητρόπολις αὐτῆς ἡ Alakâ παρὰ τὸν ποταμὸν Alakamandâ[1].

***Οὐεδ. ὑμνῳδιῶν,*** τῶν Οὐεδῶν (Σ. Vedâh ἐκ τῆς ρ. Fid (ἰδ, ἰδ-μεν), ἢ σημαίνει γνῶσιν ἁπλῶς· εἴτε τὴν ἀποκεκαλυμμένην ὑπὸ τοῦ Βράμα περὶ πάντων ἐπιστήμην). Εἰσὶ δ' ἐν βιβλίοις τέσσαρσιν, ἱεροῖς ὑπὸ τῶν Ἰνδῶν νομιζομένοις: *Rik* (Rig-Vèda), *Jajur*[2], (Jajur-Vèda), *Sâma* καὶ Atharva.

***Μάνῳ*** (Σ. Manu). Ἦν δὲ δυνάστης ὁ Μάνος καὶ νομοθέτης ὁ ἀρχαιότατος, ὃς ἀπὸ τοῦ κατακλυσμοῦ διασωθεὶς ἐγένετο τοῦ ἀνθρωπείου γενάρχης. Ὅθεν αἱ λέξεις *manava* καὶ *manuja* (Μανογενής) καὶ manushya=ἄνθρωπος. Ἐγένοντο δὲ Μάνοι πρὸ τῶν νῦν ἀνθρώπων ἕτεροι τὸν ἀριθμὸν ἕξ, ὧν ἕκαστος εἶχε περίοδον ἐτῶν 4,320,000, *Manvantaram* καλουμένην. Ἔστι δὲ περίοδος ἑκάστη τὸ δέκατον τέταρτον ἡμέρας μιᾶς τοῦ Βράμα μόριον. Οὔσῃ δ' ἑβδόμῃ τῇ νῦν ἀκολουθήσουσιν ἕτεραι τὸν ἀριθμὸν ἑπτὰ τὸν ἴδιον ἑκάστη Μάνον ἔχουσα. Ὁ δὲ τῆς νῦν ἐκ τοῦ Ἡλίου γενόμενος ὑπὸ Βίσνυος ἐκ μεγά-

1. Ἢ καὶ τοῦ Κυβήρου (τοῦ θεοῦ τοῦ Πλούτου) γενέσθαι λέγεται πόλις.
2. Τὸ j=ζ.

SISMANOGLIO MEGARO



λου σωθῆναι λέγεται κατακλυσμοῦ λαβὼν ἰχθύος εἶδος. Ἔστι δὲ τῶν τριῶν μεγίστων ἰνδικῶν θεῶν ὁ Βίσνυς ὁ δεύτερος, ὧν ὁ μὲν Βράμας ἐστὶν ὁ δημιουργός, ὁ δὲ Βίσνυς (ἐκ τῆς ρ. vish=ἐπισκοπῶν καὶ διὰ πάντων διήκων) ὁ διατηρῶν, ὁ δὲ Σίβας ὁ καὶ Ῥοῦδρος ὁ τὰ πάντα φθείρων.

***Σρία*** (Σ. Çri)=ὄλβος, οὗπερ ἐστὶ προσωποποίησις ὡς θεὰ τῆς εὐτυχίας, ἄκοιτις οὖσα τοῦ Βίσνυος, ὄμμασιν εὐειδέσι καὶ τοξοειδέσι πρέπουσα.

***Ἰάξοις*** (Σ. Jakshâh). Ἡμιθέων οὗτοι γένος ἢ δαιμονίων, Κυβήρου τοῦ θεοῦ θεραπόντων, οἳ φυλάττουσι τοὺς θησαυροὺς καὶ τοὺς κήπους.

***Ἐρώτων*** (ἰνδ. kandarpâh). Ἐλέγετο δὲ καὶ δυσὶν ἑτέροις ὁ Ἔρως ὀνόμασι: ***Μάνμαθος*** Manmathah=ὁ τὴν ψυχὴν ταράττων, τοῦ περσ. دل آشوب ἀνάλογον καὶ Κᾶμος (Kâmah). Ἔστι δ' ὁ Κάνδαρπος οἱονεὶ προσωποποίησις τοῦ ἔν τε τῇ φύσει καὶ τῷ ἀνθρώπῳ κατὰ τὸ ἔαρ ἀμφοῖν ἀναφαινομένου πάθους καὶ παρίσταται βέλη φέρων καὶ τόξον, οἷς ἀντιστῆναι δυνατὸς οὐδείς[1]. Εἰσὶ δ' ἡ μὲν τοῦ τόξου χορδὴ μελισσῶν ὁρμαθός, τὰ δὲ βέλη φυτῶν ἄνθη πέντε τινῶν (θηξίθυμον ἔρωτος ἄνθος κατ' Αἰσχύλον). Ἔστι δ' αὐτῷ φίλτατον τὸ ***Ἔαρ*** ἢ κλασσικώτερον, ὡς εἰώθασι λέγειν, ἡ (κατ' ἐξοχὴν) ***Ὥρα***.

***Χηνῶν χρυσοπτερύγων.*** Οὗτοι κατὰ τὴν μυθολογίαν ἀπὸ χρυσοῦ γενόμενοι (διὸ καὶ χρυσοπτέρυγες) ὀχοῦσι τὸν Βράμαν. Ὑετοῦ δ' ἐπιόντος, ἡδέως ἵπτασθαι λέγονται πρὸς Μάνασον (Manasa, νῦν δὲ Ladaka) τὴν λίμνην κατὰ τὴν βόρειον Ἰνδικήν, θαυμασίαν ἔχουσαι δύναμιν ἀποκρίνειν ἐξ ὕδατος γάλα.

***Μή με — τοῦ ζῆν ἀποστερήσῃς·*** πρβλ. τὸ παρ' Εὐριπίδῃ τῆς Ἰφιγενείας πρὸς τὸν ἑαυτῆς πατέρα στ. 1218:

*μή μ' ἀπολέσῃς ἄωρον· ἡδὺ γὰρ τὸ φῶς*
*λεύσσειν.....*

καὶ στ. 1256:

*τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν.*

1. Πρβλ. τὸ Σοφοκλ. (Ἀντ. 787) *καί σ' οὔτ' ἀθανάτων φύξιμος οὐδεὶς οὔθ' ἁμερίων ἐπ' ἀνθρώπων.*

**Ἀσβίνων.** Ἦσαν ἐπουράνιοι τῶν θεῶν ἰατροί, κάλλους ἐξαισίου, τέκνα δὲ δίδυμα Σουρίου, τοῦ θεοῦ τοῦ ἡλίου, καὶ τῆς Ἀσβίνης, νύμφης, ἵππου θηλείας εἶδος ἐχούσης.

**Γανθαρίων** (gandharvâh). Δαίμονες ἦσαν οὗτοι μουσικοὶ καὶ κατῴκουν ἐν Οὐρανῷ παρὰ τῷ Ἴνδρᾳ τέρποντες αὐτόν τε καὶ τὴν αὐλὴν αὐτοῦ μελῳδήμασι καὶ μουσικοῖς ὀργάνοις· καὶ φωνὴν δὲ δωρεῖσθαι λέγονται ταῖς νεάνισιν ἡδεῖαν.

**Ῥαξάσων.** Ἦσαν οὗτοι δαίμονες πελώριοι σῶμα καὶ δύναμιν, ἀΐδιοι θεῶν τε καὶ βροτῶν πολέμιοι. Δοκεῖ δὲ σημαίνειν ἡ λέξις *φύλακα* καὶ πως εἶναι συγγενὴς ταῖς *ἀρκέω* καὶ *ἄρκεσις*.

**Ὄφεων**, ἀνθρώπου μορφὴν ἐχόντων· ἀλλ' ἀντὶ σκελῶν ἐκίνουν οὗτοι τὰ τῶν πλευρῶν ἄκρα καὶ τοὺς ὄνυχας ὥσπερ οἱ ὄφεις καὶ κατῴκουν ἐν τοῖς ὑποχθονίοις πόλιν ὀνόματι *Φωγάβατιν*. Ἀπολαύουσι δὲ καὶ νῦν ἁπλῶς οἱ ὄφεις τιμῆς καὶ σεβασμοῦ παρ' Ἰνδοῖς μεγάλου.

***Ἡ δὲ δυοῖν συνάρμοσις*** ....................

.......................... ***εὐδαιμονίαν.***

πρβλ. τὸ τῆς Ὀδυσσείας Ζ 182:

*. . . . . οὐ μὲν γὰρ τοῦ γε κρεῖσσον καὶ ἄρειον*
*ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον*
*ἀνὴρ ἠδὲ γυνή κτλ.* —

ἔτι δὲ τὸ παρ' Εὐρ. Μηδ. 13:

*αὐτή τε πάντα ξυμφέρουσ' Ἰάσονι,*
*ἥπερ μεγίστη γίγνεται σωτηρία.*

## Β

**Νάραδος** (Naradah). Τὸ μὲν ὄνομα, συγγενὲς τῷ *nar* (α-νερ), δοκεῖ σημαίνειν *ἀνὴρ* ἢ ἄνθρωπος, αὐτὸς δὲ σοφὸς ὢν ἦν εἷς τῶν δέκα νοερῶν τοῦ Βράμα παίδων, ἀλλόμενος αὐτοῦ κατὰ τὸν μῦθον ἐκ τοῦ μηροῦ καθάπερ ὁ Διόνυσος τοῦ Διὸς καὶ ἐτέλει, οἵαν ὁ Ἑρμῆς παρὰ τῷ Διΐ, ἀγγέλου μεταξὺ θεῶν καὶ μερόπων ὑπηρεσίαν, ἀναιρῶν τὰς ἐν ἐκείνοις ἔριδας· λέγεται δὲ καὶ τοῦ αὐλοῦ, ᾧ χρῆται φέρων ἐν

SISMANOGLIO MEGARO



τῇ χειρί, εὑρετὴς γενέσθαι καθάπερ ὁ Ἑρμῆς τῆς λύρας, ἔτι δὲ καὶ νομοθέτης γενέσθαι.

**Βοὸς τῆς ἀφθονίας** (*Kâmadhuk*, ἐκ τοῦ *kâma* (πόθος, ἔρως) καὶ ἐκ τοῦ *duh* (ἀμέλγειν) = ἡ πάντα τῷ ἀμέλγοντι τὰ ποθεινὰ παρέχουσα). Αὕτη οὖσα ἐν οὐρανῷ παρὰ τῷ Ἴνδρᾳ διδοῖ τῷ θεῷ πάνθ' ὅσα ποθεῖ· καταπέμπει δ' αὐτὴν ἐκεῖνος καὶ εἰς τὴν γῆν ᾧ χαίρει τῶν βροτῶν ἀγαθοῦ παντὸς χορηγόν. Τοιοῦτοι δ' ἦσαν, οὓς ἐρατοὺς ὀνομάζει ξένους, οἱ Ξάτριοι[1], ὧν, ἀγωνισαμένων ἀνδρείως καὶ θανόντων, εἰς οὐρανὸν αἱ ψυχαὶ κατὰ τὴν Ἰνδῶν διδασκαλίαν ἀνήρχοντο πρὸς τὸν Ἴνδραν. Οὗ τότε χρόνον τινὰ μὴ γενομένου, πυνθάνεται τὸ αἴτιον ἐκεῖνος.

**Κατ' ἐκλογήν.** Αὗται γὰρ παρὰ τοῖς Ἰνδοῖς αἱ τῶν ἀνάκτων θυγατέρες ἐξελέγοντο τοὺς νυμφίους· προβλ. Ἰφιγ. Αὐλ. 70 καὶ Πινδ. Πυθ. Θ. 206.

## Γ

**Μαχάβας.** Ὁ Ἴνδρας, ὃς καὶ *Βαλαβριτράχας* καλεῖται καὶ *Σατάκρατος* καὶ *Σάκρος*. Ἔστι δὲ *Βαλαβριτράχας* ἐκ τῶν ὀνομάτων *Bala* καὶ *Βρίτρα* καὶ τῆς ῥ. *han* σημαινούσης *ἀναιρεῖν* ἢ *φονεύειν*. Ὅθεν = ὁ τοῦ Βάλα καὶ τοῦ Βίτρα φονεύς· παρίστησι δ' ὁ μὲν Βάλας τὸ σκότος καὶ τὸ βάρος, ὁ δὲ Βρίτρας τὰ νέφη· διὸ σημαίνειν ἔοικε τὸν ἥλιον, ὃς ἐν τοῖς Οὐέδαις γενέτης ἅμα παρίσταται καὶ ὀλετὴρ νεφῶν τε καὶ βάρους καὶ σκότους. Ἔστι δὲ κύριος τοῦ αἰθέρος καὶ τῆς Ἐῴας καὶ τοῦ Οὐρανοῦ σύμπαντος ὅμοιος τῷ Διΐ τῷ νεφεληγερέτῃ ὕων τε καὶ βάλλων ὥσπερ ἐκεῖνος τὸν κεραυνὸν καὶ πρῶτος ἐν ἀρχῇ νομιζόμενος ἐν τῇ χορείᾳ τῶν θεῶν ἕως ὑπεχώρησε τῇ τριάδι Βράμα, Βίσνου καὶ Σίβου τῶν θεῶν, διαμείνας πάντων ὕπατος τῶν ἄλλων· διὸ καὶ καλεῖται τῶν θεῶν βασιλεὺς (devarâja), τριακοντάκις μυρίων ὄντων, ἅτε λαβὼν παρὰ Βράμα τὴν οὐρανοῦ βασιλείαν. Καίτοι δ' ὑμνούμενος ἐν τῷ Δ ὡς ἀναιρέτης τῶν Δαναΐων καὶ τῶν Δαιτίων, δαιμόνων μέσων, οὐ μήν ἐστιν ἀήττητος ὥσπερ ὁ Ζεύς, ἀλλ' ἡττᾶται συχνάκις

1. Περὶ τῶν ἰνδικῶν γενῶν ἢ τάξεων λαλήσομεν ἐν τέλει διὰ πλειόνων.

ὑπὸ τῶν δαιμόνων. Ἔστι δὲ καὶ ἐπ' ἀσελγείᾳ διαβόητος ὥςπερ ἐκεῖνος· τὸ δ' ὄνομα παρὰ τὴν ῥ. *ind* (ἰθύνειν, ἄρχειν) ὂν ἡγεμόνα σημαίνει καὶ βασιλέα.

***Ἄγνις*** (*agnis* Σ., *ignis* Lat., *ugnis* λιθ., *ognj* σλαβ., *ogon* ῥωσ.). Θεὸς τοῦ πυρός, ὁ αὐτὸς τῷ Ἴνδρᾳ τὸ πρῶτον, εἶτα δὲ χωρισθείς· λέγεται δὲ καὶ *Οὔτασος*. Ἔστι μὲν οὖν αὐτὸς υἱὸς τοῦ Βράμα πρεσβύτατος, ἐστὶ δὲ τριῶν πατὴρ υἱῶν. Παρίσταται δὲ μελανείμων, κόρυθα καὶ σημαίαν ἔχων καπνόν, καὶ φλογερὸν ἐν τῇ χειρὶ φέρων ἀκόντιον, ἔτι δ' ἐλαύνων ἅρμα ὑπ' ἐρυθρῶν ἵππων ἑλκόμενον. Ἀκολουθεῖ δ' αὐτῷ κριός, οὗ καὶ ἐπιβαίνει ἔστιν ὅτε. Καταναλώσας ἣν εἶχε ῥώμην ἐκ τῶν πολλῶν, ὧν αὐτῷ Σουητάκις ὁ βασιλεὺς προςέφερε θυμάτων, ἀνεκτήσατο ταύτην ὕστερον καταφαγὼν τὸ δάσος *Χάνδαβον* ὅλον, Ἀριούνου, τῶν Πανδαύων ἑνός, ἀρήγοντος, ᾧ χάριν ἔχων ἐδωρήσατο τὸ ἀήττητον τόξον.

***Βάρουνος.*** Ἐστὶν ὁ τῶν ὑδάτων (vari) καὶ ναμάτων (ὃ καὶ γυναῖκες αὐτοῦ καλοῦνται) θεός. Ὢν δὲ κύριος τοῦ Ὠκεανοῦ καὶ τῶν Ἑσπερίων χωρῶν παρίσταται φέρων ἐν τῇ χειρὶ βρόχον. Ἔστι δὲ τοὔνομα συγγενὲς τῷ *Οὐρανὸς* κατὰ Κέρτιον (Ἐτυμολ. 351).

***Ἴαμος*** (ἐκ τῆς ῥ. jam=δαμάζειν)=ὁ δαμάζων, θεὸς τοῦ θανάτου καὶ τῆς δικαιοσύνης, ὃς μετὰ τοῦ Ἴνδρου (ἀέρος), τοῦ Ἄγνιος (πυρός), καὶ τοῦ Βαρούνου (ὕδατος) ὡς τοῦ κόσμου φύλαξ (lokapâla)[1] καὶ δημιουργὸς ὑμνούμενος τὴν γῆν ἥπερ ἔχει τιμῇ δοκεῖ σημαίνειν. Ἔστι δὲ (κατὰ Βόππιον) ὁ αὐτὸς τῷ πρώτῳ τῆς γῆς βασιλεῖ Ζεμσίδῃ (جمشيد). Ὢν δ' υἱὸς τοῦ Ἡλίου (τοῦ τὰ πάντα καθ' Ὅμηρον ἐφορῶντος) ἔργον ἔχει τὸ φυλάττειν ἐν τῇ μνήμῃ τὰ ἀγαθὰ καὶ φαῦλα τῶν ἀνθρώπων ἔργα.

## Δ

***Θεολατρείαν τελέσασα*** (*namaskritya* ἐκ τοῦ *namas* (نماز)=κλίσις, λατρεία, καὶ *kartum*, ποιεῖν, τελεῖν). Ἐτελεῖτο δ' ἡ λατρεία καὶ δέη-

1. Οἱ τοῦ κόσμου φύλακες ἦσαν ὀκτὼ κυρίως, ὧν ἐνταῦθα μνημονεύονται οἱ τέσσαρες.

SISMANOGLIO MEGARO



σις ἐπικλίσει τῆς κεφαλῆς ἐπὶ τοὺς ἀντίχειρας τῶν χειρῶν ἀμφοτέρων συντημμένων.

***Δαναύους*** καὶ ***Δαιτίους.*** Συνώνυμα συνήθως ἐκλαμβάνουσι τὰ δύο ὀνόματα. Τὸ δὲ Δάναυος ἐστὶν ἐκ τοῦ Danu, ἐπωνυμίας τοῦ *Δίτιος* (Diti). Διάφορα μέντοι ληπτέον αὐτοὺς ἐνταῦθα γένη δαιμόνων (ἀσούρων). Εἰσὶ δ' οἱ Δαίτιοι δαίμονες πολέμιοι τοῖς θεοῖς, οἱ παρ' Ἰνδοῖς, ὡς εἰπεῖν, Τιτᾶνες, τὸ γένος ἕλκοντες ἀπὸ Κασιάπου (Kasyapa), τριάκοντα τοῦ Δάξου θυγατέρας, ἐν αἷς τὴν Δίτιν καὶ τὴν Ἄδιτιν, ὁμεύνους λαβόντος, ὧν ἐξ ἐκείνης μὲν τοὺς Ἀσούρους ἐγέννησε τοὺς αὐτοὺς καὶ Δαιτίους κατὰ τὴν μητέρα καλουμένους, ἐκ δὲ τῆς Ἀδίτιος τοὺς ἐλάσσονας θεοὺς ἤτοι Δεύας (Deva).

## Ε

***Ἐπέφαινεν ..... ὁ τῆς νυκτὸς ... ἀστὴρ*** κτλ. Ταὐτὸν ἐνομίζετο καὶ παρὰ τοῖς ἀρχαίοις, ὡς ἔστιν ἰδεῖν ἐν Ἰφ. τῇ ἐν Αὐλ. 715:

*ὅταν σελήνης εὐτυχὴς ἔλθῃ κύκλος*

καὶ παρὰ Πινδ. Ἰσθμ. 7, 44: *ἐν διχομηνίδεσσιν ἑσπέραις ἐρατὸν λύοι κεν χαλινὸν ὑφ' ἥρωϊ παρθενίας (ἡ Θέτις).*

***Μετάρσιοι.*** Τῶν θεῶν οἱ πόδες οὐχ ἥπτοντο τῆς γῆς οὐδ' ἐσκαρδάμυσσον οἱ ὀφθαλμοί· αὐτοὶ δ' ἦσαν ἄσκιοι σώματ' ἔχοντες οὐκ ἐξ ὕλης ἐπιγείου, καὶ ἀνθέων δ' εἶχον ὅρμους ἀειθαλεῖς καὶ ἀμαράντους.

***Ἐμπυροσκοπίαν τε καὶ ..... πορείαν*** παρέσχε τῷ Νάλῳ δῶρον ὁ Ἴνδρας. Ἦν δ' ἣν ἐδωρήσατο πορεία, δι' ἧς ἐκεῖνος, ὥςπερ ἀήρ, ἀκωλύτως ἠδύνατο χωρεῖν εἰς πάντα τόπον. Τὰ δῶρα τὰ παρὰ τῶν ἀθανάτων ἀπονεμηθέντα βεβαιωθήσονται ἐν τῷ Φ.

## Ζ

***Δουάπαρος*** καὶ .... ***Κάλης.*** Τῆς τοῦ Μάνυος ἀμφότεροι περιόδου προσωποποιΐαι. Διαιροῦνται δ' αἱ τοῦ ἀνθρωπείου περίοδοι γένους εἰς τέσσαρας, ὧν ἡ μὲν πρώτη *Satya* παρ' Ἰνδοῖς καλουμένη ὁ χρυσοῦς ἐστιν αἰών, ἐν ᾧ ἦσαν οἱ ἄνθρωποι σῶμά τε καὶ ψυχὴν ἀγαθοί, ἔτη

διαρκέσας 1,728,000· ἡ δ' ἑπομένη *Treta* παρ' Ἰνδοῖς ὁ ἀργυροῦς ἐστι, καθ' ὃν ἐγένοντο κατ' ἄμφω χείρονες, ἔτη διαρκέσας 276,000· ἡ δὲ τρίτη, ἡ τοῦ Δουαπάρου, ὁ χαλκοῦς ἐστι, καθ' ὃν ἔτη διαρκέσαντα 864,000 ἔτι πολλῷ τὸ ἀνθρώπειον ἐγένετο χεῖρον· ἡ δὲ τετάρτη, ἡ τοῦ Κάλιος, ὁ σιδηροῦς ἐστιν αἰών, ἐν ᾧ κατ' ἄμφω τὸ ἀνθρώπειον ἔσται χείριστον· ἕξει δὲ διάρκειαν ἐτῶν 432,000 ἀπὸ τοῦ 3102 πρὸ Χριστοῦ κατὰ τοὺς Ἰνδῶν ἀρξάμενον θεολόγους.

## Η

Πρὸ ν. ὁ. π. **ἐτέλεσεν εὐχήν.** Ἡ λέξις ἡ παρ' Ἰνδοῖς εὐχὴν σημαίνουσα (*Sandhyâ* ἐκ τῆς *Sandhi*=συζυγία) δηλοῖ συνάφειαν κυρίως ἢ σύναψιν, ἐκ δὲ τούτου μῖξιν, ἰδίᾳ φωτὸς καὶ σκότους, τ. ἐ. τὴν ἠῶ καὶ τὴν δείλην ἑσπέραν, ὅτ' ἄγουσιν ἡσυχίαν ἐν τῇ φύσει τὰ πάντα. Ἐν ταύταις ὤφειλεν αὐτοῦ τελεῖν ὁ βράχμανος τὴν προσευχήν. Ἐτέλει δ' ὧδε: λουσάμενος καὶ στολὴν ἐξ ἐρίου, βάμβακος ἢ μετάξης ἐνδυσάμενος ἐκάθητο πόρρω θορύβου παντὸς ἐν καθαρῷ καὶ ἄνθεσί τε καὶ δωρήμασι κοσμητῷ δωματίῳ. Εἰ δέ ποτε μετὰ τὸ λουτρὸν οἰηθείη δεῖν ὑπακοῦσαι τῆς φύσεως ἢ τι πατήσειε μὴ καθαρόν, ἔδει νίψασθαι τὸ δεύτερον ἅμα τῷ προσώπῳ καὶ τὴν αἰδῶ καὶ τὰκρα. Εἶτα δ' ὕμνῳ καὶ λατρείᾳ τοῦ θείου τὴν ἀρωγὴν αἰτησάμενος ὤφειλεν ἀναπνεῖν καθ' ἡσυχίαν μέχρις ἂν ἀποπαυσάμενος τὴν ὅλην ἀθροίσῃ διάνοιαν εἰς τὸ θεῖον· ὁ δὴ Νάλος ὀλιγωρήσας μορίου τοῦ καθήκοντος ἀφορμὴν παρέσχε τῷ δαίμονι πρώτην ἔτει δωδεκάτῳ καταλαβεῖν αὐτοῦ τὸ σῶμα.

***Πουσκάρῳ.*** Οὗτος ἀσκῶν ὁσιότητα διῆγεν ἐν ἄλσεσι δυσμενῶς τῷ βασιλεῖ διακείμενος, ὅτ' ἐντυχὼν αὐτῷ βασιλείας ὁ Κάλης ἐνέβαλεν ἐπιθυμίαν.

***Μορφὴν—ταυρείαν.*** Μεταφορικῶς ἡ λέξις ταῦρος (ἰνδ. vrishah) τὸν ἄριστον ἐνταῦθα *κύβον* ἔοικε *συνδυασμὸν* σημαίνειν, ὥςπερ καὶ ἡ λέξις *gavâm* (βοῶν) τοὺς ἄλλους ἐννέα τ. ἐ. 2, 4, 5, 6, 7, 8, 9, 10 καὶ 12, τῶν κύβων ἑκατέρων τοὺς τέσσαρας μόνους ἀριθμοὺς (1, 3, 4, 6) ἐπὶ μιᾶς τῶν συνεχῶν πλευρῶν ἐχόντων, ἐπὶ δὲ τῶν ἀντικειμέ-




SISMANOGLIO MEGARO



νων οὐδένα, ἀλλ', ἐὰν μὲν ἐκείνων ἡ μία τῶν πλευρῶν ὁριζοντία γένηται, τῶν κύβων ῥιφθέντων, τῶν ἄνω γίνεσθαί τινα συνδυασμὸν ἀριθμῶν ὧδέ πῃ: 1 καὶ 1, 1 καὶ 3, 1 καὶ 4, 3 καὶ 3, 3 καὶ 4 (= 1 καὶ 6), 4 καὶ 4, 6 καὶ 3, 6 καὶ 4, 6 καὶ 6. τ. ἔ. 2, 4, 5, 6, 7, 8, 9, 10, 12, ἐὰν δὲ μηδεμία, (τοῦτο δὲ σπάνιον, ὡς εἰκός), τῶν κενῶν ὁριζοντίων γενομένων, ἀριθμὸν μὲν οὐδένα γίνεσθαι, ἐξεῖναι δὲ λαβεῖν οὗ μάλιστα χρῄζει τῷ παίζοντι (οἷον τὸν 11)· διὸ ἀρίστη τῶν πτώσεων αὕτη· δυνατὸν δὲ τῶν ἐξῃρημένων τριῶν ἀριθμῶν (1, 3, 11) λαβεῖν, ἐὰν ὁ ἕτερος τῶν κύβων πέσῃ κενὸς (), τοὺς πρώτους (1, 3), οὐδέποτε μέντοι τὸν 11 πλὴν τῆς εἰρημένης ἄνω συντυχίας (). Τὸ δὲ ταῦρον ὀνομάσθαι τὸν ἄριστον κύβον ἐπομμνήσκει πῃ τῇ μεταφορᾷ τὸ παρ' Ὁμήρῳ Ἰλ. Β. 480:

*ἠΰτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων*
*ταῦρος· ὁ γάρ τε βόεσσι μεταπρέπει ἀγρομένῃσι.*

πρβλ. καὶ Οππ. Κυνηγ. Β, 43 κξ.:

*'Αλλ' ἄγε δὴ* ***ταύρων*** *ζηλήμονα πάγχυ γενέθλην*
*πρῶτον ἀείδωμεν* . . . . . . . . . . . . . . . . .
. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .
*Εἷς βασιλεὺς ἀγέληφι τυραννεύων ὄχ' ἄριστος*
*βαιοτέροις ταύροις καὶ θηλυτέρῃσιν ἀνάσσει.*

## Θ

***Κύνδινα.*** Ἔστιν ἡ νεωτέρα πόλις Βεδέρη, ἐπὶ Βαράδου τοῦ ποταμοῦ, μητρόπολις οὖσα τῆς Βιδαρφίας τῆς νῦν Berar καλουμένης χώρας βορείας τῶν Κυντάλων ἀπὸ Κρίσνου μέχρι Ναρμάδου διηκούσης. Ἐκαλεῖτο δὲ καὶ *Maharâshtra* (τὸ μέγα βασίλειον), ὅπερ ὄνομα εἰς *Maratha* τυγχάνει παρεφθαρμένον.

***Αἰωθίαν,*** τὴν νῦν *Oudh* ἐν τῇ βορείῳ Ἰνδικῇ παρὰ τὸν Σαραίαν.

## Ι

**Οὐδένα—ἑταῖρον.** Πρβλ. Εὐρ. Μηδ. 561:

*Πένητα φεύγει πᾶς τις ἐκ ποδῶν φίλος* [1].

**Ῥιξάβαντα.** Ὄρος ἐπὶ τῷ ποταμῷ Ναράδῳ. Σ. rkshavant = ὄρος (κυρ. ἄρκτους ἔχον).

**Ἀβαντίαν** (Avanti). Ὄνομα πόλεως, ποταμοῦ καὶ χώρας τῇ νῦν Μαλίδῃ τῆς αὐτῆς λογιζομένης. Ἔστι δ' ἡ πόλις μία τῶν ἱερῶν ἑπτὰ πόλεων ἐν Ἰνδοῖς, ἐν αἷς ὁ ἀποθνήσκων ᾔδει σαφῶς εἰς οὐρανὸν ἀναβησόμενος· λέγονται δ' αὐτῆς αἱ γυναῖκες εἶναι τέχνης ἐρωτικῆς ἐμπειρόταται παντοίας.

**Παιόννιδος** (Pajoshni), ποταμοῦ ἐν τῷ Βινθόῳ τῷ ὄρει τὰς πηγὰς ἔχοντος. Ἔστι δ' ὁ Βίνθοος ὀρέων σειρὰ τὴν (κυρίως) Ἰνδικὴν ἀπὸ τῆς Δεκάνης ἢ Μεσημβρίας χωριζόντων. Ἔστι δέ τι περὶ αὐτοῦ καὶ μυθολογούμενον, τὴν εἰς τὸ μεσημβρινόν, ὡς ἔοικε, κλίσιν ὑπαινιττόμενον, ὡς ποτε ζηλώσας ἣν ὁ Ἴμαος εἶχε παρὰ τῷ ἡλίῳ τιμὴν διηνεκοῦς περὶ τὴν κορυφὴν περιστροφῆς τὴν αὐτὴν ᾐτήσατο παρ' ἐκείνου χάριν. Οὐκ ἀποδεξαμένου δ', ὑπ' ὀργῆς ἀεὶ μᾶλλον ὑψοῦτο πρὸς οὐρανόν, ὥστε ποτὲ καλύπτειν ἡλίου καὶ σελήνης ὁδούς. Φοβηθεὶς οὖν ὁ θεὸς τὴν ἀρωγὴν ᾐτήσατο Ἀγαστίου τοῦ σοφοῦ, διδασκάλου τοῦ Βινθόου. Ὁ δὲ πείσας τὸν μαθητὴν ἵνα κλιθεὶς αὐτῷ δίοδον παράσχῃ πρὸς μεσημβρίαν, οὕτω δ' ἔχων αὐτοῦ διαμένῃ τὴν ἐπάνοδον περιμένων,

---

1. Ὅτι δὲ μετὰ δυσπραγίαν ἐπισκήψασαν ὁ ἀριθμὸς μειοῦται τῶν ἑταίρων ἢ καὶ τέλεον ἐκλείπει πάλαι τεθρύληται. Οὐ μήν, οὐδ' εἴτις ἀπελείφθη, διατελεῖ πρὸς τὸν ἄλλοτε φίλον ἡδέως ἔχων ἐπὶ πολὺ κατ' Εὐριπίδην Ἡρ. Μαιν. 305—6:

*ὡς τὰ ξένων πρόσωπα φεύγουσιν φίλοι*
*ἐν ἦμαρ ἡδὺ βλέμμ' ἔχειν φασὶν μόνον.*

πρβλ. καὶ τὸ Ὀουιδ. τοῦ ποιητοῦ:

*donec eris felix multos numerabis amicos.*

Ἔστι δέ που καὶ παροιμία Τευτόνων, ἣν ἐν ἰαμβείῳ μεθερμηνεύσειεν ἄν τις ὧδε:

*πτωχῷ 'στὶν ἀνδρὶ μόρος ἀνὰ χθόν' εἷς φίλος!*



ἐπανῆλθεν οὐκέτι. Τὸ δ' ὄρος ἐκ σεβασμοῦ πρὸς τὸν διδάσκαλον ἔμεινεν ὥσπερ εἶχεν οὐδαμῶς ὑψικόμενον οὐ ἐπόθει· διὸ τὰς ἀτελέστους *Ἀγαστίου* καλοῦσιν ἐν Ἰνδοῖς *ὑποσχέσεις*.

**Κωσαλίαν** (Koçala). Ἔστι δὲ χώρα κειμένη ἐπὶ τῶν ὀχθῶν τοῦ Σαράγγου ἢ Γογρὰ καὶ ἐν ταῖς τοῦ Βινθόου στενοπορίαις, ἔνθα ποτ' ἦρχε Κούσας ὁ τοῦ Ῥάμα.

## Κ

. . . ἰδὼν **ἐδάκρυσεν** ὁ τάλας. «Ἀγαθοὶ δ' ἀριδάκρυες ἄνδρες» εἴρηται τοῖς ἀρχαίοις, πρβλ. δὲ καὶ Εὐρ. Ἑλ. 950:

. . . . . . . . . . . . . . . *πρὸς ἀνδρὸς εὐγενοῦς*
*ἐν ξυμφοραῖσι δάκρυ ἀπ' ὀφθαλμῶν βαλεῖν.*

**Ἀδίτυοι, Βάσυες** καὶ **Ῥοῦδροι,** τάξεις εἰσὶ δαιμόνων· καὶ οἱ μὲν Ἀδίτυοι δυωκαίδεκα τὸν ἀριθμὸν ὄντες προσωποποιίαι πιθανώτατα τοῦ ἡλίου τυγχάνουσιν ὄντες καθ' ἣν ἐκεῖνος ἀνὰ τὸν οὐρανὸν ἐν ἑκάστῳ μηνὶ κατέχει θέσιν. *Aditya* γὰρ ἰνδιστὶ καλεῖται. Οἱ δὲ Βάσυες εἰσὶν ὀκτὼ τὸν ἀριθμόν, ἐν οἷς ὁ Σώμας (ἡ Σελήνη), ὁ Ἀνίλας (ἄνεμος) καὶ ὁ Ἀνάλας (πῦρ), καίπερ οὗτοι καὶ θεοὶ νομιζόμενοι. Οἱ δὲ Ῥοῦδροι, ὧν ἐστι πρῶτος ὁ Σίβας ὁ καὶ Ῥοῦδρος, ἕνδεκα πάντες· Μάρυτοι δ' εἰσὶ κατὰ τὴν τῆς λέξεως ἀρχὴν οἱ τῶν ἀνέμων δαίμονες· ἄνεμον γὰρ ἡ λέξις (marut) σημαίνει· διὸ Marutvat ὁ Ἴνδρας ὡς ὑπὸ δαιμόνων ἀνέμων ἀκολουθούμενος· ἦσαν δὲ καὶ τῶν ἄλλων θεῶν οἰκεῖοι.

## Λ—Μ

**Θυσίας — ἀσβαμεθείους.** Περὶ τῶν παρ' Ἰνδοῖς καθόλου θυσιῶν διὰ μακρῶν ἡμῖν ἐν τῷ τέλει τῶν σημειώσεων ἔσται λόγος ἰδίᾳ (ἐν παρεκβάσει I).

**Οὐεδάγγων.** Οὕτω καλοῦνται τὰ ἄλλως *Anga* καλούμενα βιβλία δι' ἣν ἔχουσι στενὴν πρὸς τοὺς Οὐέδας συνάφειαν. Περιεῖχον δὲ τὰ μὲν Ἄγγα τὴν Γραμματικὴν (ἐν τοῖς τρισὶ προτέροις βιβλίοις), τὰ περὶ τὴν λατρείαν (ἐν τῷ τετάρτῳ), τὰ τῆς ἑρμηνείας τῶν Οὐεδῶν (ἐν

τῷ πέμπτῳ) καὶ τὴν μαθηματικὴν ἐπιστήμην (ἐν τῷ ἕκτῳ), τὰ δ' *Upanga* καλούμενα Λογικήν, Ἱστορίαν, Νομικὴν καὶ Φιλοσοφίαν. Καὶ τῶν μὲν περὶ Λογικῆς πραγματειῶν εἰσὶν αἱ τοῦ Γαυτάμου διασημόταται, τῶν δὲ νομικῶν αἱ τοῦ Μάνυος.

***Νεκταροπότης*** (σομαπότης). Ἔστι δὲ σόμα φυτόν, οὗ ὁ χυμὸς πόσιμος ἐν θυσίαις καὶ χρήσιμος. Ἐξῆν δὲ πίνειν αὐτὸν ἱερεῦσι μόνοις ὄντα τοῖς ἀσεβέσιν ὀλέθριον.

***Φρίγυος,*** ἑνὸς τῶν δέκα πατριαρχῶν, οὓς κατέστησεν ὁ Μάνος, ὅς ποτ' εἰς λύσιν τῆς ἔριδος: ὅςτις ἄρα τῶν τριῶν ὑψίστων ἰνδικῶν θεῶν ὁ δικαιότατος εἴη θεραπεύεσθαι, ὑπὸ τῶν βραχμάνων ἐπέμφθη πρὸς ἐκείνους. Ἐπιεικέστατον οὖν εἶναι δι' ἣν ἀπέδειξεν αὐτῷ πραότητα τῶν τριῶν ἀποφηναμένου τὸν Βίσνυν, ἐκεῖνος ἐκρίθη δικαιότατος εἶναι.

***Ἄτριος,*** ὕμνων οὐκ ὀλίγων οὐεδικῶν γενέσθαι ποιητοῦ λεγομένου. Ἦν δ' εἷς τῶν δέκα νοογεννήτων τοῦ Βράμα παίδων ἐκ θατέρου γενόμενος αὐτοῦ τῶν ὀμμάτων, ἔτι δὲ τῶν ἑπτὰ σοφῶν, οὓς παρίστησιν ἀν' οὐρανὸν ἡ ἄρκτος· μυθολογεῖται δὲ παρ' Ἰνδοῖς ἐκθορεῖν ἐκείνου θατέρου τῶν ὀφθαλμῶν τὴν σελήνην.

***Βασίστου,*** περιβοήτου σοφοῦ καὶ ἰδίου τοῦ ἡλιακοῦ τῶν ἀνάκτων γένους ἱερέως, ἔτι δ' ὕμνων οὐεδικῶν πολλῶν ποιητοῦ γενομένου. ἦν δ' ἀληθοῦς παράδειγμα δυνάμεως βραχμανικῆς καὶ σοφίας, οἱ δ' ἀγῶνες, οὓς ὁ σοφὸς ἠγωνίσατο Βισβαμίθρας ἴσος ἐκείνῳ γενέσθαι πειρώμενος, μύθους ἀποτελοῦσι πλείστους. Ἐγένετο δὲ σοφὸς ἐξ ἡγεμόνος, ὃ πρότερον ἦν, δι' ἣν ἔσχε δεινὴν ἐπιθυμίαν τῆς *βοὸς τῆς ἀφθονίας*, ἥν ἔτυχέ ποτ' ἰδὼν ἐν τῇ Βασίστου μονῇ. Οὐδενὶ δὲ τρόπῳ τοῦ ποθουμένου τυχεῖν δυνηθεὶς ἀσκήσεσιν ἔδωκεν ἑαυτὸν ἐσχάταις ἕως ἐκρίθη σοφὸς ἐπ' ἐκεῖνον.

***Ἄσωκον*** (ἀπενθές, ἄλυπον). Ἐκ τοῦ α (στερ.) καὶ çoka = λύπη, πένθος). Τὸ δένδρον ἔχειν λέγεται τὴν ἀρετὴν ἀπαλλάσσειν ἀνίας τοὺς ἐπιμελουμένους, ἰδίᾳ τοὺς ἐντρυφῶντας ἄλσεσιν ἀσώκων. Ἔχει δ' ἄνθος ἐρυθρόν, ὃ τῶν ἄνω ῥηθέντων ἕν ἐστι πέντε τοῦ Ἔρωτος βελῶν.

***Περιελθοῦσα τὸ φυτὸν*** ἐπὶ λατρείᾳ. Τὸ γὰρ ἄσωκον οὕτως, ὥςπερ ἄλλα τινὰ δένδρα, λατρείας ἐτύγχανε, περιερχομένων αὐτὸ πρὸς

SISMANOGLIO MEGARO



ἐπιθυμιῶν ἐπίτευξιν ἰδίᾳ παρθένων ἀνδρῶν τυχεῖν ἀγαθῶν ἐφιεμένων· αἱ δὲ πολλάκις ἐποίουν οὕτως εὐχόμεναι καθ' ἃ διώριζεν ὁ ἱερεὺς καὶ περιχέουσαι τὸ στέλεχος ὕδατι· φέρουσαι δὲ καὶ λύχνον ἐλαίου τῇ χειρὶ φλεγομένου μύροις αὐτὸ περιέρραινον ἅμ' ἀνθοβολοῦσαι. Εἴθιστο δὲ τι τῷ ἱερεῖ παρέχειν δῶρον.

***Βιτάσωκε*** (= ἄσωκε). Ἔστι γὰρ τὸ *βιτάσωκος* ἐκ τοῦ *vita* (= πορευθείς, ἀπελθών) καὶ τοῦ *çokas* ὅθεν = ὁ τὴν λύπην ἔχων ἀπελθοῦσαν, ἐλεύθερος λύπης, ἄλυπος.

***Ἰαξία,*** νύμφη ἢ θῆλυ δαιμόνιον· οἱ δ' ἄρρενες (Ἴαξοι) φύλακες ἦσαν τῶν τοῦ Κυβήρου θησαυρῶν καὶ τῶν κήπων ἰδ. Α.

***Ῥαξασία,*** δηλ. τοῦ *Rakshasas* ἰδ. Α.

***Εὐδαίμων—ἀπολιποῦσα.*** Πρβλ. Εὐρ. Μηδ. 145:

*. . . τί δέ μοι ζῆν ἔτι κέρδος;*
*φεῦ φεῦ· θανάτῳ καταλυσαίμαν*
*βιοτὰν στυγερὰν προλιποῦσα.*

Τοῦ ***Σεδοβασιλέως τὴν γῆν.*** Χώραν νοεῖ παρὰ τὸν Νάρμαδον μεταξὺ Ῥιξάβαντος καὶ Βινθύου τῶν ὀρέων κειμένην, εἰ τὴν αὐτήν, ὥς φασι, νομιστέον εἶναι τῇ Βυγκελχάνδῃ.

## N

***Τὰ τρία . . χωρία,*** γῆν, οὐρανὸν καὶ θάλασσαν.

***Μανίφαδρος.*** Οἱ ἔμποροι πνεῦμά τι νομίζοντες εἶναι τὴν Δαμαιαντίαν ἐν ἀνθρώπου μορφῇ σωτηρίαν αἰτοῦνται παρὰ Μανιφάδρου, τοῦ θησαυροῦ τοῦ Βορρᾶ καὶ τῆς βασιλείας φύλακος.

***Βαισράβανος.*** Ἕτερον ὄνομα οὗ ἐν ἀρχῇ που ἐγένετο μνεία θεοῦ Κυβήρου κατὰ τὸν πατέρα *Βίσραβον* οὕτω καλουμένου.

***Πισακίς.*** Εἰσὶ κατ' Ἰνδοὺς οἱ Πίσακοι πνεύματα πονηρὰ πολυειδῆ, δένδροις, ἄλσεσιν ἢ μονήρεσι τόποις ἐνδιαιτώμενα, ποταμῶν καὶ λιμνῶν καὶ ναμάτων ἐν ὄχθαις καὶ ἐν φρέασιν. Εἰσὶ μὲν οὖν, ὥςπερ εἰκός, ἀόρατα τοῖς ὄμμασι, γίνονται δ' ὁρατὰ μορφὴν ἀνθρώπου λαμβάνοντα, ζῶντος ἢ σκελετοῦ, ἢ ζώου· καταλαμβάνουσι δὲ πρὸς οἴκησιν ἔστιν ὅτε σώματα συγγενῶν ἢ ἄλλων μὴ χαριζομένων αὐτῶν ταῖς

ἐπιθυμίαις· θήλεα δὲ τιν' αὐτῶν ἔρωτι τῶν ἀνδρῶν ἢ τέκνων ἢ καὶ σαρκὸς ἐπιθυμίᾳ μετὰ θάνατον ἐρχόμενα νύκτωρ τελοῦσιν αὐτῶν τὰς ὀρέξεις. Ἔστι δὲ παρ' Ἰνδοῖς ἐπιστήμη πνευματικὴ παρέχουσα κατὰ τούτων ἐξουσίαν, ὥςτε χρήσιμα γίνεσθαι πρὸς ἅ τις βούλεται· τὸν δ' ὑπ' αὐτῶν κατειλημμένον οὐδὲν ἰάσασθαι δύναται, μόνοι δ' οἱ ἐξορκισταὶ δι' ἧς ἔχουσι τέχνης αὐτὰ καὶ δι' ὧν τελοῦσι τελετῶν ἀναγκάζουσιν ἃ κατειλήφασι σώματα καταλιπόντα εἴς τι δοχεῖον ἐγκλείεσθαι.

***Πτηνῶν.*** Πανταχοῦ γῆς εἰώθασιν οἱ πολλοὶ τῶν ἀνθρώπων ἔκ σημείων ἐνίων τὸ τῆς ἡμέρας προγινώσκειν εὐτυχὲς ἢ τοὐναντίον ἐξερχόμενοι. Οὕτως ἐν ταῖς Ἰνδίαις βοῦν μὲν ἰδών τις ἢ βράχμανον ἢ παρθένον ὑδρίαν ἔχουσαν ἢ ἰχθὺν ἀγαθὰ προοιωνίζεται περὶ τῆς ἡμέρας, γαλῆν δ' ἢ σαύραν ἢ χήραν ἢ βράχμανον ἀκάθαρτον τἀναντία προγινώσκων ἢ ἀναβάλλεται τὴν πορείαν ἢ καθ' ὁδὸν εἰς ἀπαλλαγὴν τοῦ κακοῦ τελετήν που τελεῖ τοῖς ὑπάτοις θεοῖς ἐξιλαστήριον.

***Τῶν πλανητῶν.*** Παιδίου γεννηθέντος, ἀστρολόγοι τὰς ὥρας ἐσημειοῦντο παρ' Ἰνδοῖς καὶ τὰ σημεῖα, καθ' ἅπερ ἂν ἦσαν ἐν ἐκείναις ἔνιοι πλανῆται, δι' ὧν ἐλογίζοντο τὰ ἐσόμενα τῷ παιδίῳ. Ἐξ ἄρα τῆς γεννήσεως μέχρι τῆς τελευτῆς ἐπηρεάζεται τῶν ἀνθρώπων ἡ ζωὴ κατ' ἐκείνους ὑπὸ τῶν ἀστέρων, ὧν εὐτυχία καὶ τοὐναντίον ἀκολουθεῖ τῇ μεταβολῇ τῶν κινήσεων· ἐπιβλαβοῦς οὖν οὔσης αὐτῶν τῆς ἐνεργείας, τελεταῖς εἰώθασιν ἐξιλάσκεσθαι.

***Εἱμαρμένης.*** Ἐπὶ τοῦ μετώπου τοῦ ἐν νηδύϊ μητρὸς ἐμβρύου γράφει κατ' Ἰνδοὺς ἡ Εἱμαρμένη γράμματα καθ' ἃ ποθ' ὕστερον ὄλβος ἢ δυςπραγία περιβάλλουσιν αὐτὸν ἐν τῷ βίῳ.

***Ἐξ ἀδικίας—γενόμενος.*** Κατὰ τοὺς Ἰνδούς, μετεμψύχωσιν ἢ μετενσωμάτωσιν ὥςπερ ὁ Πλάτων ἀποδεχομένους, ἐν ᾧ τις ἐγεννήθη τόπῳ καὶ κοινωνίᾳ διαλύεσθαι μὲν ὀφείλει ἅπερ ἐν βίῳ προτέρῳ ὤφειλε χρέα, δοῦναι δὲ δίκην ὧν εἰργάσατο πλημμελημάτων· τοιούτῳ δὲ τρόπῳ κατ' ἐκείνους ἀναγεννᾶται πολλάκις ἡ ψυχὴ πρὸς ὀφειλημάτων ἔκτισιν ποικίλων ἐν σώμασι ποικίλοις, τὸν ἀριθμὸν ὀκτακιςμυρίοις καὶ τετρακιςχιλίοις, ὧν ἕκαστόν ἐστιν εὐεστοῦς ἢ δυσημερίας φυλακή τις.

SISMANOGLIO MEGARO



## Ξ

***Καρκόταμον*** ἕνα τῶν ὀκτὼ κορυφαίων ὄφεων τῶν ἐν τοῖς Πατάλοις ἤτοι καταχθονίοις οἰκούντων. Ἔχουσι δ' οὗτοι τὸ μὲν ἥμισυ τοῦ σώματος ἀνθρώπινον, τὸ δ' ἕτερον ἥμισυ σαυροειδές· γοητευτικαὶ δὲ τούτων αἱ θήλειαι καθάπερ αἱ Σειρῆνες οὖσαι πειρῶσιν ἔστιν ὅτε σοφοὺς ἢ θεοὺς εἰς γάμον, εἰ δέ τινα πείσειαν, ἐνείργουσι.

***Καὶ σύναμα βραχμάνων.*** Βραχμανικῶν σοφῶν (brahmarshi) κυρίως, οἵ τινι θυμωθέντες κατακαίουσι τῷ πυρὶ τῶν ὀμμάτων.

## Ο

***Βοῦς.*** Τὸ δωρεῖσθαι βοῦς εἰς οὐρανὸν ἀνάγει κατ' Ἰνδοὺς τὸν δωρούμενον, ἡ δ' ἐκεῖ μακαριότης ἀνάλογόν ἐστιν ὧν ἐδωρήσατο βοῶν.

***Τὴν Μήνην—ὁ Ῥάχυς.*** Τοῦ νέκταρος (amritam), ὅπερ ἀναβλύζει ἐκ τοῦ Ὠκεανοῦ, προςφερομένου τοῖς θεοῖς, ὁ Ῥάχυς ὁ ἐκ τῶν Δαιτίων (ἰδ. Δ) μεταμφιεσάμενος πιεῖν ἐπειράθη μετ' ἐκείνων· δηλωσάντων ὅμως ἡλίου καὶ σελήνης τῷ Βισνῇ τὸν δόλον, ἀπέσπασεν αὐτοῦ τὴν κεφαλὴν ἀπὸ τοῦ σώματος· ἀλλ' (ἦν γὰρ μικρόν τι πεπωκὼς ὁ δαίμων) ἦν ἀθάνατον ἑκάτερον, ἐν οὐρανῷ διαιτώμενον· δίκην οὖν οἴονται λαμβάνειν Ἰνδοὶ τὸν δαίμονα παρὰ τῶν φωστήρων ἐν πανσελήνῳ καὶ νουμηνίᾳ· διό, γινομένης ἐκλείψεως, ἐλέη τοῖς πτωχοῖς εἰώθασι παρέχειν, ἵνα κωλυθῇ τῆς ὁρμῆς ὁ Ῥάχυς, ὃς ἀστρονομικῶς παρίστησι τὴν γῆν ὡς πλανήτην.

## Π

***Ἀπὸ τοῦ πλάσαντος*** (Ἰνδ. Dhâtâ· λέγεται δὲ καὶ Vidhâtâ καὶ ἐστὶν ὁ Βράμας). Ἰδίᾳ μέντοι κατ' Ἰνδοὺς ὁ μὲν Βράμας ἐστὶν ὁ δημιουργῶν, ὁ δὲ Dhâtâ σημεῖά τιν' ἐπιτίθησι τοῖς γεννωμένοις, ὁ δὲ Vidhâtâ ὁ καὶ Vidhi τὸ πεπρωμένον ἐπιγράφει τῷ μετώπῳ. Ἔστι δ' ἡ μόνη τοῦ θεοῦ ἐν τῷ ποιήματι μνεία.

***Δασάρνων,*** ὧν ἡ χώρα πρὸς ἠῷ κειμένη τῆς Μαλούας (Malva)

μητρόπολιν εἶχε Φίλσαν (Bhilsa) ἐπὶ τῷ Βετούᾳ. Διαρρεῖ δὲ ποταμὸς αὐτὸν ὀνόματι Δάσανος.

**Ἐν τοῖς μεγάροις τοῦ πατρός.** Εἴθισται γὰρ παρ' Ἰνδοῖς ἀποστεῖλαι τὴν ἐγκυμονοῦσαν ἄκοιτιν εἰς τὴν πατρῴαν οἰκίαν, ἵν' ἐκεῖ παρὰ τοῖς γονεῦσι τέκῃ τὸ κύημα.

**Φαγγασύρῳ.** Ὄνομα Ῥιτυπάρνου τοῦ βασιλέως· ἔστι δὲ παρὰ τὴν ῥ. *bhanj* καὶ τὸ *asuras*, ὄνομα δαιμόνων· ὅθεν = ὀλετὴρ δαιμόνων.

## Ρ

**Ἐπ' ἀληθείας ἄστατον** κτλ. ὑπομιμνήσκει τὸ τῶν Ἰταλῶν: la donna e mobile.

**Ἐν Σινδικῇ,** ΒΔ. κειμένη τῆς Ἰνδικῆς. Ἐστὶ δὲ τὸ Σινδὸς (Sindhu) ὄνομα τοῦ Ἰνδοῦ· ἔστι δὲ ποταμὸς ὁμώνυμος καὶ ἐν Μαλούᾳ.

**Σαλίχωτρος,** ἦν, ὡς ἔοικε, τῆς ἱππικῆς, ὥςπερ ὁ Ξενοφῶν, ἐπιστήμων.

## Σ

***Ιόζανον,*** μέτρον ἀποστάσεως ἴσον ὀκτὼ μιλίοις ἢ ἐννέα.

***Οὐ πάντα — οὐδ' — εἰδώς.*** Ταὐτά που καὶ τὸν Αἰνείαν ἐν τῷ Ῥήσῳ (106—7) παρίστησιν Εὐριπίδης λέγοντα:

*ἀλλ' οὐ γὰρ αὐτὸς πάντ' ἐπίστασθαι βροτῶν*
*πέφυκεν· ἄλλῳ δ' ἄλλο πρόςκειται γέρας.*

## Φ

**Βλέμματι — ἦσαν ἔμπλεα.** Ὁμοίας εἶχον ἀρετὰς οἱ βραχμανικοὶ σοφοὶ τελοῦντες ἅπερ ὁ Νάλος, τῶν θεῶν δωρησαμένων (ἰδ. Ε), ἐνθάδε, στίχους τέ τινας ἀπαγγέλλοντες ἱεροὺς καὶ τὰς οἰκείας ἐπικαλούμενοι θεότητας· φῶς τε γὰρ οὕτως ἀνάπτειν ἠδύναντο καὶ πῦρ ἐκ τοῦ μηδενὸς καὶ πληροῦν ὕδατος ἀγγεῖα.

SISMANOGLIO MEGARO



## Χ

**Ἐνδυσαμένη φοινικοῦν.** Γυναικὶ παρ' Ἰνδοῖς, ἧς ἔτυχεν ἀπὼν ὁ ἀνήρ, οὐ θέμις ἑαυτὴν κοσμεῖν ἢ καλλωπίζειν· ὀφείλει δ' ἐρυθρὰν μὲν ἐνδύεσθαι μόνον ἐσθῆτα, κοινήν τε καὶ φαύλην, ἀποκεχωρηκότα δὲ διάγειν βίον.

**Ὁ τῆς ἡμέρας ἀστὴρ ὁ σελασφόρος,** ὁ ἥλιος, ὃς ἐπιβαίνων ὀχήματος ἑπτΐππου περιάγει τὸν οὐρανὸν ἡνίοχον ἔχων Ἀρούναν. Ἔστι δὲ μάρτυς ἀΐδιος τῶν ἀγαθῶν τε καὶ κακῶν ἀνθρωπίνων ἔργων (πρβλ. Ὁμ. Ὀδ. Μ. 323: *ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει*). Ἐστὶ δ', ὡς ἐρρέθη (ἰδ. Α), πατὴρ τῶν τε δισσῶν Ἀσβίνων καὶ τοῦ Μάνυος.

**Σελήνη — Μήνη** (ἰνδ. Tschandramas ἀρσ.) Ἐξέθορε μὲν οὗτος κατ' Ἰνδοὺς ἐκ θατέρου τῶν Ἄτριος ὀμμάτων ἢ τῆς ἀναφλυζούσης θαλάσσης. ἔχει δὲ συζύγους ἀστέρας εἴκοσι καὶ ἑπτά, θυγατέρας τοῦ Δάξα (Dakshas = δεξιός) ἐν αἷς ἦν ἡ Ῥοχινία πασῶν ἡ προςφιλεστάτη. Τὸ δὲ τῆς περιοδικῆς φαινόμενον μειώσεως αἴτιον ἔχει τοὺς νεκταρείους αὐτοῦ δακτύλους, καταπινομένους ὑπὸ θεῶν ἐν ὁμαλῇ καὶ τεταγμένῃ περιφορᾷ. Ἐρῶν δὲ τῆς Ῥοχινίας, ὡς ἔοικε, δεινῶς, ὑπὸ τοῦ πατρὸς (τοῦ Δάξα) κατεκρίθη πρὸς ἀνάλωσιν ἀΐδιον, ἥ τῇ μεσιτείᾳ τῶν συζύγων εἰς περιοδικὴν ἐμειώθη. Καὶ τοῦ σοφοῦ δὲ Βριχασπάτιδος (υἱοῦ τοῦ Ἀγκιράσου καὶ τῶν θεῶν διδασκάλου, Δία δὲ τὸν πλανήτην παριστῶντος) τὸ γύναιον διαφθείρας τὸν Βύσαν (Bushas) ἐγέννησεν, ἀρχηγέτην ὄντα τῆς Σεληναίας δυναστείας. Ἔστι δὲ καὶ αὐτός, ὥςπερ ὁ ἥλιος, τῶν ἀνθρωπίνων ἐπόπτης ἔργων.

**Ἐκεῖνοι ...... συμβᾶσαν.** Πρβλ. Ὀδυσσ. Χ. στ. 300 κξ.

## Ψ

**Ἄνθεσι ποικίλοις καὶ σημαίαις.** Εἴθισται παρ' Ἰνδοῖς ἐν ἑορταῖς καὶ πανηγύρεσιν ἀνυψῶσαι μὲν φοινίκων φύλλα καὶ σημαίας, ἀρτᾶν δ' ἀπ' ὑψίλων ἀνθέων τε καὶ φύλλων εὐόσμων στεφάνους ἀνὰ τὴν

πόλιν πᾶσαν ἐν ταῖς ὁδοῖς καὶ πρὸ τῶν θυρῶν, φωταγωγεῖν δὲ τὴν πόλιν σύμπασαν νύκτωρ.

Ω

***Ἀλλά σοι . . . . . . γεννάδα!*** Θαυμαστέον ἀληθῶς τὴν τοῦ Νάλου πρὸς τὴν οὐχ ἅπαξ ἐμφανῆ τοῦ Πουσκάρου γενομένην ἐπιβουλὴν καὶ κακίαν τῇ Ἰωσήπου τοῦ Παγκάλου πρὸς τοὺς ἀδελφοὺς ἐμπρεπῆ μεγαλοψυχίαν!

Ἐν τῷ ***Νανδάνῳ***, κήπῳ τοῦ Ἴνδρα ἐν τοῖς Ἠλυσίοις (ἐκ τοῦ nandi = χαρά)· σημαίνει δ' ἡ λ. καὶ *γένος* ἢ *γόνον*.

# ΠΑΡΕΚΒΑΣΙΣ Ι

**Jajuya**[1], λέξις, ᾗ τὴν θυσίαν οἱ Ἰνδοὶ καλοῦσι, διαλλαγὴν σημαίνουσα πρᾶξιν ἐμφαίνει κυρίως ἣν δήποτε τὸ θεῖον ἐξιλεοῦσαν. Ἐκ δὲ τῶν εἰς τοῦτο παρά τισιν ἐν ταῖς Ἰνδίαις λαοῖς τελουμένων θυσιῶν ἐπεκράτησεν ἡ τοιαύτη σημασία. Πέντε τοίνυν εἴδη θυσιῶν ὑπάρχοντα παρ' ἐκείνοις, ὧν διοσὴν ἕκαστον, τὴν μὲν ἀπὸ τῆς λέξεως αἰσθητήν, τὴν δὲ κρείττω καὶ μυστικωτέραν, ἔχει σημασίαν, δηλοῦμεν ὡς ἑξῆς ἀπὸ τῶν ἀσδαμεθείων ἀρχόμενοι:

1) **Açvamedha**, μυστικώτερον μέν, ὥς φασι, κάθαρσιν ἐμφαίνει τοῦ ἀέρος, θυσιῶν ἀρωματωδῶν ἐν ὁδοῖς τε καὶ ἀγροῖς καὶ οἰκίαις ἐμπιπραμένων· ἀπὸ δὲ τῆς λέξεως (açva-s = ἵππος) κάθαρσιν τ. ἔ. ἄρσιν τῶν ὑπαρχόντων εἰς ἵππου δρόμον ἀπολυθέντος κωλυμάτων, ἐξ οὗ θυσίαν ἵππου βασιλεῖ πρὸς χάριν γενομένην. Παρὰ γὰρ Ἰνδοῖς ἔθος ἦν ἀρχαῖον ἡγεμόνα τῶν ἐπιχωρίων, εἴ ποτε μέγιστος ἢ πρῶτος βούλοιτο γενέσθαι τῶν ἄλλων πάντων, ἵππον ἐκείνοις ἐκπέμπειν μετὰ πολεμιστῶν ἐνίων ἐπὶ τῷ μετώπῳ πίνακα φέροντα ἐπιγεγραμμένον ἔχοντα τὸ ἴδιον ὄνομα. Οἱ μὲν οὖν ὕπατον ἐκεῖνον ἀποδεχόμενοι τῶν ἡγεμόνων οἰκείους τῷ ἵππῳ προσετίθεσαν πολεμιστάς, οἱ δὲ μὴ πειθόμενοι κατεῖχον τὸ ζῶον· τὸ δ' ἦν ἐκείνῳ πολέμου πρὸς τούτους αἴτιον. Εἰ δ' ἐπικρατήσειε τῶν ἐναντιωσαμένων, ἐπὶ ταὐτὸ συναγαγὼν εὐώδη προσέφερεν οἱονεὶ ξένοις ἰδίοις ἐδέσματα καὶ φυτὰ καὶ δῶρα δὲ καὶ ἀξιώματα· οἱ δὲ *βασιλέα μέγαν* (mahârâja προφ. مهاراجا) αὐτὸν εἰς ἀμοιβὴν ὁμοθυμαδὸν ἀνειπόντες ἀπήρχοντο. Χρόνῳ δ' ὕστερον ὑπ' ἀνδρῶν ἡγεμονίας οὕτω τεύξεσθαι μετὰ θάνατον οἰομένων εἰς ἀληθινὴν μετέπεσεν ἵππων θυσίαν καιομένων.

1. Ἐκ τῆς ρ. yaj (προφ. [illegible]) = *λατρεύειν τῷ θείῳ, θύειν* σημαίνει δ' ἔτι: *οἰωνισάμενον ἐπιχειρεῖν τινι καὶ διδόναι*.

SISMANOGLIO MEGARO

2) **Ajamedha** (πρφ. اجامیدها)· κάθαρσιν ἐπίσης ἐμφαίνει τ. ἔ. καταστολὴν τῆς φύσεως ἤτοι τῶν ἐμφύτων ὁρμῶν ἀσκήσει τῶν τῆς ἐγκρατείας κανόνων ἐμμόνῳ, φυσικαῖς καὶ διανοητικαῖς ἀμοιβομένην εὐτυχίαις. Ἐκ μέντοι τῆς λέξεως aja (πρφ. اجا = αἴξ, ajas ἀρσ. καὶ ajâ θηλ.) αἰγὸς ἂν ἔδοξε σημαίνειν τοὔνομα θυσίαν. Ὅθεν οἱ κρεωφαγοῦντες ἐν τοῖς Ἰνδοῖς εἶναι ῥᾴδιον αὐτοῖς ἐνόμιζον ἐξιλεοῦν τὸ θεῖον εἰς πῦρ ἐμβάλλουσι τὴν τοῦ ζώου κεφαλήν, εἶναι δὲ ταύτην μόνην ὁδὸν εἰς εὐδαιμονίαν.

3) **Gomedha**. Καὶ τοῦτο κάθαρσιν ἐμφαίνει τὸ εἶδος, ἀλλὰ τῆς γῆς αὐτῆς, ὥστε μὴ νοσήματα τοῖς οἰκοῦσι παρέχειν· ἀπὸ δὲ τῆς *go* βοῦν σημαινούσης (ὀνομ. *gaus* περσ. گو· ἀγγλ. δὲ *kow*) βουθυσίας ἔλαβε σημασίαν, ὁδοῦ καὶ ταύτης εἰς εὐτυχίαν ὑπὸ τῶν κρεωφάγων νομισθείσης.

4) **Naramedha**. Καὶ τοῦτο δὲ τὸ εἶδος κάθαρσιν ἐσήμαινε, τὴν τοῦ σώματος, καιομένου μετὰ θάνατον ἐν πυρὶ μετ' οὐσιῶν εὐωδῶν, ἵνα μὴ τὸν ἀέρα μολύνῃ τὸ σῶμα διαλυόμενον ἢ πῃ βλάπτῃ τῆς γῆς τὴν ἐργασίαν. Ἀλλ' ὑπ' ἀμαθίας ὕστερον ἀνδρῶν ἐκ τῆς λέξεως (*nar* = ἀνήρ) ἡγήσαντο ταύτην εἶναι θυσίαν ἐν πυρὶ πρὸς ἀμοιβὴν ἐν τῷ βίῳ τῷ μέλλοντι τελουμένην.

5) **Mahayajnya** (ἡ μεγάλη θυσία) ἢ Pantschayajnya (πρφ. پانچایاجنیا = αἱ πέντε θυσίαι). Ἔστι δ' αὕτη θυσία τελουμένη μὲν ὑπακοῆς ἕνεκεν ἢ λατρείας ἢ φιλοξενίας εἰς τὸ θεῖον ἢ τινας ἀνθρώπους, πέντε δὲ καθημερινὰ παντὸς ἀνθρώπου περιέχουσα καθήκοντα:

α) *Bhûtayajnya* (*bhûta* (φυτόν) = ζῷον καὶ *yajnya* = θυσία). Θυσία θεραπευτικὴ τῶν ἄλλως ἐχόντων ζωήν, ἣν ὁ τελῶν μεταδίδωσιν αὐτοῖς αὐθημερόν, εἰ δυνατόν, ἧς ἔχει τροφῆς· τὸ δὲ περισσὸν ἢ μέρος ὁποῦν ἐμβάλλει φέρων εἰς πῦρ, ἵν' ἐκ τῶν οὕτως ἀναλυομένων ἐλαχίστων μορίων τὰ ἐν ἀέρι τρέφωνται ζωΰφια. Χρόνῳ δ' ὕστερον ἀφιέρωσις ἐνομίσθη τις ἢ προσφορὰ τῷ θανάτῳ, βουτύρου ἢ ἐδέσματος ἄλλου εἰς πῦρ ἐμβαλλομένου.

β) *Mriyajnya* ἢ *manushyayajnya* (πρφ. مانوشیایاجنیا). Θυσία, δι' ἧς καθόλου θεραπεύεται τὸ ἀνθρώπειον ἤτοι τυγχάνουσι σεβασμοῦ μὲν

SISMANOGLIO MEGARO



οἱ γέροντες, ἀεὶ δὲ καὶ πανταχοῦ βοηθείας οἱ χρείαν ἔχοντες ἢ πενόμενοι καὶ φιλοξενίας οἱ ἄστεγοι.

γ) *Pitriyajnya*. Καὶ αὕτη θεραπεία τις τῶν ἐν τῷ οἴκῳ γηραλέων, ὧν ἐπιτελοῦσι μεθ' ὑπακοῆς τὰ ῥήματα. Εἰ δὲ ποτέ τισιν ἐγένετο τοὐναντίον, ἀποθανοῦσι τελοῦσι θυσίας ὕδωρ εἰς δεξαμενὴν ἢ τόπον εὔυδρον ἐγχέοντες, ἀπαλλάσσεσθαι νομίζοντες οὕτω τῆς ὑπ' ἐκείνων ἐν τῷ μέλλοντι βίῳ διαταράξεως.

δ) *Dévayajnya*. Θεραπεύειν ἐστὶ τὸ εἶδος εὐνοίᾳ καὶ σπουδῇ καθηγητὰς καὶ διδασκάλους, κοινῇ δ' ἀντὶ τούτου κακῶς τὴν λέξιν ἀποδεχόμενοι θυσίας τελοῦσι θεοῖς τισιν ἱλαστηρίους ὁμοίας ταῖς ἀνωτέρω (γ).

ε) *Brâhmayajnya*. Ἱκεσία τίς ἐστι τοῦ θείου, τῆς ἀναπνοῆς ἐπεχομένης ἢ βιβλίων ἱερῶν ἀναγινωσκομένων, ἀλλ' οἱ φορτικώτεροι καὶ τοῦτο θυσίαν οἰόμενοι σημαίνειν τῷ Βράχμᾳ, τῷ ὑψίστῳ τ. ἔ. θεῷ, πράττουσιν οὕτω.

Πᾶσαι δ' εἰσὶν αὗται αἱ θυσίαι τελεστέαι πρὸ τοῦ δείπνου μετὰ λουτρὸν ἅπαξ ἢ δὶς τῆς ἡμέρας. Ἀλλ' αἱ πρῶται τέσσαρες (αἱ .... medha) μεγάλαι τ' εἰσὶ καὶ ἀπὸ τριῶν εἰς τριάκοντα διαρκοῦσιν ἡμέρας, ἐν αἷς ὁ τὴν θυσίαν τελῶν οἰκείους τε καλεῖ τοὺς ἑαυτοῦ καὶ φίλους καὶ ἄνδρας ἱεροὺς καὶ σοφοὺς τῶν ἐπιφανῶν ἁπανταχόθεν ὅσους ἂν δύνηται. Ἐπειδὰν δὲ συνέλθωσι σκευῇ τε πρέποντες εὐπρεπεῖ καὶ κόσμῳ, οἰκήματά τ' αὐτοῖς ὁ τοῦ οἴκου παρέχει δεσπότης καὶ τῶν ἐδεσμάτων ἑσπέρας ἰδίᾳ τὰ κάλλιστα, σηρικοῖς τε περιβάλλει καὶ ἐπὶ τόπου καθαροῦ ἐν τῇ πρὸς τοὔργον ὁδῷ καθίζει. Οἱ μὲν οὖν ἄρρενες ἐν παιδιαῖς τοῦ χρόνου τὸ λοιπὸν διάγουσιν ἢ περιάγοντες ἢ τρόπον ἄλλον, ᾧ χαίρουσι, τερπόμενοι. Τὰ δὲ γύναια λελουμένα πρὸ τῆς οἰκίας ὑπὸ σκιάδα συνέρχονται πρὸς τοῦτο πεποιημένην, ἵν' ἱερά τιν' ᾄδωσιν ἡδέα μέλη. Οἱ δ' ἱερεῖς καὶ σοφοὶ λουσάμενοι πρῶτα κάθηνται συνελθόντες ὑπὸ σκιάδι πρὸ βωμοῦ οἱ μὲν ἱερούς τινας μέλποντες ὕμνους, οἱ δ' ἱερά τιν' ἀναγινώσκοντες ἔργα, οἱ δὲ περὶ ἱερῶν διαλεγόμενοι ζητημάτων, ἐπιλέκτων ἱερέων ἄλλων ἅμα τῷ ξενίζοντι παρὰ τὸν βωμὸν ἀπέναντι καθημένων. Τοῦ δὲ πυρὸς ἀπὸ κόπρου βοὸς καὶ ξύλων ἐν τῷ βωμῷ καιομένου, σχήματα παρασκευάζουσιν

οἱ ἱερεῖς ἐπὶ σανίδος γεωμετρικὰ κόκκοις ὀρύζης καὶ σίτου καὶ ἄνθεσι. Ποτὸν δέ τι πίνειν αὐτοῖς παρέχουσι στεφάνῳ κεκοσμημένοις ἐξ ἀνθέων. Ἐκ δὲ τούτων ὕμνους ᾄδουσιν Οὐεδικούς, ἄνθη τε συνεχῶς τοῦ ξενίζοντος βάλλοντος καὶ κάρυα καὶ σαντάλου ἀπόσταγμα ἢ ὄρυζαν ἐπὶ λατρείᾳ τρίβοντος ἢ τοῦ ἱερέως ἐπιταγῇ κόκκους εἰς τὸ πῦρ ἐμβάλλοντος ἢ κλάδους καὶ βούτυρον ἅμα τούτοις. Καὶ ταῦτα ποιεῖ μέχρις ἡλίου δυσμῶν ἐπὶ βραχὺ μόνον ἀναπαυόμενος εἰς μετάληψιν σιτίων. Ἐν δὲ τῷ διὰ μέσου προσέρχονται τῆς τε κώμης καὶ τῶν περιχώρων οἱ ἔνοικοι θεασόμενοι τὴν τελετήν, ὅτε καὶ τέφραν ἐκ τοῦ βωμοῦ λαβόντες ἐπιχρίουσι τοῖς ὀφθαλμοῖς ἢ μορίῳ τῆς κεφαλῆς ἑτέρῳ χάριν ἡγούμενοι τοῦτο θείαν. Περὶ δὲ τὴν δείλην εὐλογοῦντες ὕμνοις οὐεδικοῖς τὸν τοῦ οἴκου δεσπότην οἱ ἱερεῖς ἀποχωροῦσι πρὸς τὸ μέγα δεῖπνον. Τῇ δ' ἐπιγενομένῃ πρωΐᾳ τοῦ αὐτοῦ μὲν εἴδους, τὸν δὲ βαθμὸν διάφοροι δρῶνται τελεταὶ καὶ τοῦτο χωρεῖ μέχρι τῆς ἐσχάτης καθωρισμένης ἡμέρας, καθ' ἣν διὰ σωλῆνος εὐρέος ἐπιχέουσι τῷ πυρὶ βούτυρον μετὰ κοκκοκαρύων, ὀρθῶν μὲν ἱσταμένων ἁπάντων, φωνῇ δὲ γεγωνυίᾳ τῶν ἱερέων ὕμνους οὐεδικοὺς ἀπαγγελλόντων.




1. Τῶν ἑκκαίδεκα κωνίων ἕκαστον ἰνδιστὶ καλεῖται *Akshânga*.
2. Ὁ κύβος (B) καλεῖται *Aksha*.
3. Τὸ τετράγωνον, ἐφ' οὗ τελεῖται τῶν κωνίων ἡ κίνησις, καλεῖται *Akshavâta*.
4. Ἡ βολὴ τῶν κύβων ὀνομάζεται *Akshapâta*.
5. Τὸ παίγνιον ὅλον *Akshadyûtam*.
6. Ὁ παίκτης *Akshavâpa*.

# ΠΑΡΕΚΒΑΣΙΣ II

Τὸ σχῆμα **Λ** μετὰ τῶν τεσσάρων ἐν εἴδη σταυροῦ πτερυγίων ἐξ ὑφάσματος ἢ διαγεγραμμένον ἐπὶ σανίδος ἔχει ἐπὶ τούτων ἑκάστου τετράγωνα εἴκοσι καὶ τέσσαρα. Εἰσὶ δ' ἐν ἑκάστῳ πτερυγίῳ κωνία τέσσαρα διάφορα τὸ χρῶμα, δι' ὧν ἡ τοῦ παιγνίου κίνησις τελεῖται. Κύβοι δ' ἢ ἀστράγαλοι ὑπάρχουσι δύο, ὧν ἐπὶ τῶν ἐπιμήκων ἑκατέρου πλευρῶν εἰσὶν οἱ ἀριθμοὶ 1, 3, 4 καὶ 6. Τούτων δὲ ποικίλως ἀνὰ δύο πιπτόντων καὶ προςτιθεμένων, δύναται τῶν κωνίων ἓν καθ' ἑαυτὸ διατρέχειν 1, 2, 3, 4, 5, 6, 7, 8, 9, 10 καὶ 12 τετράγωνα, ἢ δύο κατὰ ζεῦγος 1, 3, 4 καὶ 6. Ἐὰν δ' ὁ κύβος τύχῃ πεσὼν ὀρθὸς καὶ μηδεμίαν δεικνύῃ στιγμήν[1], ἕνδεκα (11) τότε διατρέχει τετράγωνα τὸ κωνίον. Ἔστι δὲ παίζειν ἄνδρας τὸ παίγνιον τοῦτο τέσσαρας ἐκ τῶν τεσσάρων μερῶν ὡς ἀνταγωνιστὰς ἢ ἀνὰ δύο ἑκατέρωθεν ὡς μερίδας ἐναντίας, συναπτομένων ἔνθεν τοῦ κυανοῦ καὶ τοῦ κιτρίνου καὶ ἔνθεν τοῦ ἐρυθροῦ καὶ τοῦ χλωροῦ· δυνατὸν δὲ παίζειν αὐτὸ καὶ δύο μόνους, ὅτε παίζει ὁ εἷς ἀντὶ δυοῖν, ὁ μὲν τοῖς κιτρίνοις ὁμοῦ καὶ τοῖς κυανοῖς, ὁ δὲ τοῖς δυσὶν ἑτέροις. Παίζουσι δ' ἔστιν ὅτε καὶ τρισὶν ἀστραγάλοις ἢ κύβοις ἐπίμηκες ἔχουσι τὸ σχῆμα. Ἔστι δὲ τὸ παίγνιον παρεμφερὲς ἐν πολλοῖς τῇ καλουμένῃ τάβλᾳ ἢ ταυλίῳ, παιγνίῳ συνηθεστάτῳ κατὰ τὴν Ἑῴαν.

Ἐὰν ὑποθῶμεν ὅτι τῶν παιζόντων δυοῖν ὁ μὲν κάθηται κατὰ τὸ **Δ**, ὁ δὲ κατὰ τὸ **Ε**, βαλόντος ἑκατέρου τῶν κύβων τὸν ἕτερον, ὁποτέρου μείζονα παρίστησιν ὁ κύβος ἀριθμόν, ἐκεῖνος ἄρχεται τῆς κινήσεως ἐπὶ τὰ δεξιὰ κατὰ τοῦ βέλους τὴν φοράν. Ἐν δὲ τῇ κινήσει, καθ' ἣν ἡ τῶν κύβων βολὴ καὶ τοῦ παίζοντος ἡ σύνεσις παρέχουσιν εὐτυχίαν, δύο τῶν κωνίων (κυανοῦν τοῦ **Δ** καθ' ὑπόθεσιν ἢ ἐρυθρὸν τοῦ **Ε**),

1. ἴδ. ἐν τῷ Πιν. 13.

SISMANOGLIO MEGARO

δι' ὧν ἐγένετο τῆς κινήσεως ἀρχή, ἀφικόμενα τὸ μὲν (κυανοῦν) εἰς τὸ **Ζ**, τὸ δ' (ἐρυθρὸν) εἰς τὸ **Γ**, μενοῦσιν ἐκεῖ κατὰ ζεύγη μέχρις ἂν ἡ τοῦ κύβου βολὴ παράσχῃ τὸν ἀρ. 12, ὅτε διαπηδῶσι κατὰ τὴν τοῦ βέλους φορὰν εἰς τὸ μέγα τετράγωνον **Λ** ὡς ἀπηλλαγμένα. Μετὰ δὲ τὸ πρῶτον ἐκεῖνο κωνίον ἕκαστον ἄλλο τῶν διαμεινάντων χειρεὶ, μόνον ἢ κατὰ ζεῦγος, καθ' ὃν οἱ κύβοι παρέχουσιν ἀριθμὸν εἰς τὰ πρόσω καθ' ἣν ἐμφαίνει τὸ βέλος φοράν. Ἐπειδὰν δὲ περιέλθῃ τὰ πτερύγια πάντα, εἰσέρχεται (καθ' ἥν, αὖθις, ὑποδείκνυσι τὸ βέλος φοράν) εἰς τὴν μέσην τοῦ ἰδίου πτερυγίου στήλην, ἕως ἂν ἐκεῖθεν, ὥσπερ εἴπομεν, ἀφίκηται εἰς τὸ **Λ**. Ὁ δ' οὕτω πρότερος εἰσαγαγεῖν εἰς τὸ **Λ** τὰ κωνία κατορθώσας περιγεγένηται ἤ, καθάπερ ἐν τῇ συνηθείᾳ λέγειν εἰώθασι, κερδαίνει.

Ὁ παίκτης ὁ τὸ κυανοῦν κινήσας τὸ πρῶτον, δύναται ἔστιν ὅτε κινεῖν καὶ τὸ κίτρινον, εἰ λυσιτελὲς αὐτῷ δόξειεν εἶναι τοῦτο· μέχρις οὗ μέντοι μὴ κινηθῇ τὸ ζεῦγος τὸ κυανοῦν ἐκ τοῦ **Ζ**, διελθεῖν οὐκ ἔνι τῷ κιτρίνῳ τὸ **Η**. Κινηθέντος ὅμως ἤδη τοῦ ζεύγους τοῦ κατὰ τὸ **Ζ**, δύνανται μὲν διελθεῖν τὰ κίτρινα τὸ ὅριον **Η**, ἀλλ' οὔπω εἰσελθεῖν εἰς τὸ **Λ** (πλὴν εἰ τὰ λοιπὰ κυανᾶ εἰσεχώρησαν ἤδη εἰς τὸ **Λ**). Συμβαίνει δ' οὕτως ἔστιν ὅτε πάντα μὲν συνειλῆσθαι τὰ κυανᾶ πρὸς τὸ **Ζ** ἢ περὶ τὸ **Λ**, πάντα δὲ τὰ κίτρινα πρὸς τὸ **Η** ἢ περὶ τὸ **Λ**, μηδένα δὲ χῶρον εἰς κίνησιν ἔχοντα κινηθῆναι δεῖν αὖθις ἀπὸ τοῦ **Λ** καὶ κύκλῳ, καθάπερ τὸ πρῶτον ἤδη, περιενεχθῆναι. Οὕτω δ' ἔχει καὶ περὶ τοῦ ἐρυθροῦ καὶ τοῦ πρασίνου ἐν τοῖς ἰδίοις πτερυγίοις.

Τὰ ἑπτὰ ἐν τῇ μέσῃ στήλῃ ἑκάστου πτερυγίου τετράγωνα τῶν οἰκείων εἰσὶ τοῦ πτερυγίου κωνίων· διὰ μέντοι τῶν ἄλλων ἔστιν ἅπασι διελθεῖν ἁπλῶς τοῖς κωνίοις. Ἐὰν δέ ποτε τύχῃ τι βληθὲν ἢ θανατωθέν, ὡς εἰπεῖν, τῶν κωνίων ἤ τι δεήσῃ κινεῖν ἀπηλλαγμένον ἤδη κωνίον, ἀρκτέον αὖθις ἀπὸ τῆς μέσης τοῦ οἰκείου πτερυγίου στήλης, ἀπὸ τοῦ **Λ** τῆς ἀρχῆς γενομένης.

# ΠΑΡΕΚΒΑΣΙΣ III

## ΠΕΡΙ ΤΩΝ ΠΑΡ' ΙΝΔΟΙΣ ΦΥΛΩΝ

Αἱ παρ' Ἰνδοῖς *φυλαὶ* (Σ. *Varna* κυρ.=χροιὰ γαλ. caste) καθάπερ εἴ τι παρ' ἔθνεσιν ἄλλοις ἦν ἢ ἔστιν ἀνάλογον ἀρχὴν εἰληφέναι δοκοῦσι τὸ μὲν ἐκ τῆς ἐξ ἀϊδίου φύσει πως ἐν ἑκάστῳ γένει βροτῶν ὑπαρχούσης εἰς *χείρονας* (ἀφυεῖς, φορτικούς, ἀμαθεῖς, ἀδυνάτους, πένητας) καθόλου καὶ κρείττονας (εὐφυεῖς, σοφούς, χαρίεντας, ἰσχυροὺς καὶ πλουσίους) καὶ τῆς τῶν ἐργασιῶν ἐκεῖθεν ἀναλόγου διακρίσεως, ἣν *ἄρχοντος* Ἀριστοτέλης ἐκάλεσε καὶ *ἀρχομένου*[1], τὸ δ' ἐκ τῆς ἐπιχωρίων ἢ πρώτων οἰκητόρων ὑπὸ ξένων ἰσχυροτέρων ὑποτάξεως. Παρ' Ἰνδοῖς οὖν ἡγήσασθαι δοκεῖ τοῦ πρώτου τὸ δεύτερον, τῶν ἐπηλύδων Ἀρίων ἑαυτοὺς ὡς κυρίων ἀπὸ τῶν ἐπιχωρίων (Σούδρων, Σ. Kshudrâh=ἀδύνατοι, φαῦλοι) διακρινάντων. Ἡ δ' ἐν αὐτοῖς ἐκείνοις εἰς φυλὰς διαίρεσις ἢ κερματισμὸς ἐν ὑστέρῳ δοκεῖ κατὰ βραχὺ γενέσθαι χρόνῳ. Τὸ δὲ πῇ καὶ πόθεν ἔσται δῆλον ὧδέ πῃ σκοπουμένοις:

Ἐπειδὴ τὸ ταῖς αἰσθήσεσι μὲν ἄληπτον, ἐκ δὲ πολυποικίλων ἐνεργειῶν ἀποκαλυπτόμενον τῇ διανοίᾳ[2] θεῖον ἅμα ποτὲ νοήσαντι σέβας ἐνέβαλε τῷ ἀνθρώπῳ καὶ κοινωνίας πόθον εἰς ἐπίτευξιν ἀγαθῶν ἢ δεινῶν ἀπαλλαγὴν παρόντων ἢ μελλόντων, ὅν τινά που σοφώτερον ἢ τελειότερον οἱ τοῦ γένους ἐνόμιζον εἶναι διὸ καὶ οἰκειότερον, ὡς

1. Πολ. 1, 2: *ἄρχον φύσει καὶ ἀρχόμενον* διὰ τὴν σωτηρίαν· τὸ μὲν γὰρ δυνάμενον τῇ διανοίᾳ προορᾶν ἄρχον φύσει καὶ δεσπόζον φύσει, τὸ δὲ δυνάμενον τῷ σώματι ταῦτα ποιεῖν *ἀρχόμενον* καὶ φύσει *δοῦλον*. Πρβλ. καὶ A. Thiers: *De la propriété* p. 51: l'inégalité parait au début même de l'existence sociale.

2. Πραξ. 14, 17. Πρὸς Ῥωμ. 1, 20.

εἰκός, τῷ θείῳ, τούτῳ προσήρχοντο τά τε θεῖα δύνασθαι διδάσκειν οἰόμενοι καὶ τὰ σκοτεινὰ διασαφεῖν, ἔτι δὲ καὶ μεσίτου καὶ διαλλακτοῦ πη παρ' ἐκείνῳ τελεῖν ἐργασίαν. Ἐκ τοιούτων οὖν ἀνὰ χρόνον ἡ τῶν ἱερέων ἐγένετο παρὰ πᾶσι μοῖρα, σοφίας τε φύλαξ εἶναι νομιζομένη καὶ διδάσκαλος εὐσεβείας καὶ λατρείας· ᾗ τιμαί τε διὰ τοῦτο παντοῖαι καὶ δῶρα καὶ κτήσεις ὑπὸ τῶν ἄλλων ἀπενέμοντο συνοίκων. Ἐκ δὲ τῶν εἰς ἄμυναν ἀνθρώπων τε καὶ θηρίων ἐπιόντων ἀρωγὴν τοῖς ἄλλοις καὶ σωτηρίαν οὕτω δι' ἀνδρείαν τε καὶ μεγαλοψυχίαν καὶ ῥώμην[1] παρασχεῖν ἑκάστοτε δυνηθέντων ἢ τῶν πολεμιστῶν, εἶτα δ' ἀνὰ χρόνον εὐπατριδῶν ἔλαβε γένεσιν, οἷς, εἰρήνης οὔσης, ἐκ σεβασμοῦ διαιτηταῖς ἐχρῶντο καὶ προστάταις ἄλλας τε τιμὰς ἀπονέμοντες καὶ γῆς τὴν ἀρίστην εἰς ἐπισιτισμὸν καὶ εὐζωΐαν. Ἐκ δὲ τῶν ἄλλων τοῦ βίου καθόλου χρειῶν ἡ τρίτη παρὰ πᾶσιν ἐγένετο μοῖρα, γεωργούς τε καὶ βαναύσους καὶ ναύτας καὶ πᾶσαν ἰδέαν ἐργατῶν περιέχουσα.

Παρὰ τοίνυν Ἰνδοῖς αἱ μοῖραι τοῖς Ἀρίοις οὕτω πη γενέσεως τυχοῦσαι (βραχμανική, ξατριακή, Οὐαισιακή[2]) τὴν αὐτὴν περί που τὸ κατ' ἀρχὰς παρεῖχον ὄψιν, ἣν αἱ παρ' ἄλλοις ἔθνεσι νυνὶ καλούμεναι τάξεις τῶν ἐνοίκων. Εἰσῆγε δ' ἕκαστον εἰς ἑκάστην οὐχ ἡ γένεσις, ἀλλ' ἀρετῆς ὑπεροχὴ καὶ παιδείας ἢ ἕξεως ὡς που μαρτυρεῖ τὸ οὐεδικόν: τῇ μέν τις γενέσει γεννᾶται σοῦδρος, τῇ δ' ἐργασίᾳ γίνεται δουΐζος[3]. Οὕτω δ' ἔχοντες ἐπιγαμίας ἀλλήλοις ἐποιοῦντο πάντες, ἐλευθέρας τῆς αἱρέσεως τοῦ συζύγου ταῖς παρθένοις οὔσης, ὃ svayanvaram (ἰδίαν ἐκλογὴν) ἐκάλουν. Ἀνὰ δὲ χρόνον ἡ τῶν ἱερέων μοῖρα, δι' ἧς ἑαυτῇ περιεποιήσατο τιμιωτέρας ἐργασίας ἐπὶ τῶν ἄλλων

1. Οἷοι ἦσαν Ἡρακλῆς τε καὶ Θησεὺς καὶ Μελέαγρος ἐν τοῖς πάλαι.

2. Παρὰ τὰ ὀνόματα Brâhman, kshatram καὶ viç, ὧν σημαίνει τὸ πρῶτον *τῆς ἱερουργίας τὸ σύνολον*, τὸ δεύτερον *ἐξουσίαν ἢ γῆς κυριότητα* καὶ τὸ τρίτον (vicus λατ., Ϝοῖκος ἑλ.) *οἰκίαν ἢ κώμην*.

3. Janmata jayate kshudrah karmana dvija utschyate. Τὸ δὲ Dvijah (=ὁ δὶς γεγεννημένος) πάντας ἐσήμαινε τὸ κατ' ἀρχὰς τοὺς Ἀρίους, εἶτα δ' ἐκλήθησαν οὕτως οἱ βράχμανες μόνοι.

© SISMANOGLIO MEGARO



δυοῖν, ἡ δὲ ξατριακὴ δι' ἣν ἀνεδέξατο τῆς χώρας ἄμυναν καὶ φυλακὴν (ἐξ οὗ pritivipâlâh = γῆς φύλακες καθάπερ οἱ θεοὶ locapâlâh = τοῦ κόσμου φύλακες) ἐπὶ τῶν οὐαισίων ὑπεροχὴν λαβοῦσαι δι' ἣν ἕκαστος ἀνθρώπων ἔχει σύμφυτον ὁρμήν, ὃ δήποτ' ἔτυχέ πη κεκτημένος αὐτὸς ἀγαθὸν διασώζειν ἢ δυνατὸν ἐν τοῖς ἐπιγινομένοις οἰκείοις, ἀμφότεραι κληρονομικὰς ἃς εἶχον ἐργασίας τε καὶ τιμὰς ἀνὰ χρόνον ἐποιήσαντο. Ὅθεν ἐπιγαμίαν ἐπαύσαντο ποιούμενοι τοῖς μὴ τὴν αὐτὴν ἀσκοῦσιν ἐργασίαν· ἡ δὲ τοιαύτη καταστᾶσα τῶν ἱερέων ὑπεροχὴ καὶ δύναμις καὶ κυρία παντελῶς ἐγένετο διὰ θεσμῶν, οὓς ἄνδρες ἔθεσαν αὐτῶν ἐπιφανεῖς, οἷος ὁ Μάνος (Manu), ὃς κινδυνεῦον ὁρῶν τῇ πρὸς τὸ λοιπὸν ἐπιμιξίᾳ διαφθαρῆναι τὸ βραχμανικὸν νόμον ἔθηκεν ἐπιτάσσοντα τῷ σοφῷ συνοικεῖν ἀεὶ θυγατρὶ σοφοῦ χωρίζειν μὲν ἀπὸ τῶν ἄλλων οὐ βουλόμενος, ἁγνὸν δὲ φυλάττειν, ἅμα δ' εἰς ἐπίδοσιν ἄγειν ἀκώλυτον καὶ ταχεῖαν. Οὗ γενομένου καὶ τῆς μοίρας οὕτως ἡ τάξεως εἰς φυλὴν μεταπεσούσης, καὶ ἐν αὐτοῖς ἐκείνοις οὕτως ἀνὰ χρόνον αἱ ἐργασίαι διεκρίθησαν, ὥστε τοὺς ἐργαζομένους ἰσαρίθμους γενέσθαι φυλὰς τῇ τῆς ἐργασίας ἀξίᾳ διατιμωμένας[1]. Τὸ δ' ἀνάλογον ἐγένετο καὶ ἐν ταῖς δυοῖν ἑτέραις, ἐφ' ὅσον ἐσώζοντο, φυλαῖς[2], ὥστε πη δεῖν οὐ περὶ μιᾶς (ἱερέων ἢ ξατρίων), ἀλλὰ περὶ πολλῶν ποιεῖσθαι λόγον φυλῶν ἀκριβολογεῖσθαι βουλομένους.

Τῷ τοίνυν εἰς φυλὰς ἀεὶ πλείονας, ὡς ἂν τις εἴποι, κερματισμῷ κοινωνία τε καὶ πολιτεία δοκεῖ παρ Ἰνδοῖς ἐπῳκοδομῆσθαι, τῇ φυλῇ

1. Εἰσὶ δ' ἔτι σήμερον ἐν τοῖς ἱερεῦσι φυλαί: α) Tschatur-vedi, β) Tri-vedi, γ) Dvi-vedi, δ) Modh-brahmin, ε) Auditsch-br., Ϝ) Nagar-br., ζ) Agnihotra-br., η) Dakshina-br., θ) Dravida-br , ι) Tailang-br., κ) Bahuvrihi-br. κξ. ἀπεχόμεναι μὲν ἐπιγαμιῶν, ἀλλ' οὐ δυσμενῶς ἀλλήλαις ἔχουσαι καὶ σιτίων ἐνιαχοῦ κοινωνοῦσαι.

2. Οὐκέτι γὰρ εἶναι λέγονται σήμερον αὗται, βράχμανοι δὲ καὶ σοῦδροι καὶ μικτοὶ τὸ γένος οἰκοῦσιν, ὡς ἔοικε, νῦν ἐν τῇ χώρᾳ πλὴν τῶν ἐπηλύδων (Kennedy: Transactions of the literary Society of Bombay III, p. 148).

πως ἐκείνοις ἑκατέρα ταὐτιζομένη. Αἴτιον δ' ἥ τε σύμφυτος, ὡς ἔοικε, τῷ γένει κλίσις[1] καὶ τὸ μηδένα τοῦ παρελθόντος ἁπλῶς ποιουμένους λόγον τῷ νῦν ἀνακεῖσθαι μόνῳ παντελῶς ἱστορίας τῶν πάλαι γενομένων ἐξ οὗ καὶ πάσης ἑνοποιοῦ καὶ τοῦ ὅλου συνεκτικῆς ὁμοιροῦντας ἰδέας. Βιοῖ δὲ τῶν φυλῶν ἑκάστη βίον ἴδιον ὑπ' ἐθῶν ῥυθμιζόμενον νόμου μείζονα παρ' ἐκείνοις ἰσχὺν ἐχόντων. Καλοῦνται δ' αἱ μὲν ἀπὸ τῆς ἐργασίας, αἱ δ' ἐξ ὧν οἰκοῦσι τόπων, αἱ δ' ἀπὸ ζώων ἢ πραγμάτων, αἱ δ' ἀπὸ τῶν ἀνιόντων[2]. Τιμιωτέρα δ' ἐστὶν ἑκάστη τοσούτῳ τῶν ἄλλων, ὅσῳ τῆς τῶν ἱερέων ἔλαχεν ἐγγυτέρω γενέσθαι.

Ἐστὶ μὲν οὖν ἡ τοιαύτη τῶν ἐν Ἰνδίαις Ἀρίων ἢ Δουΐζων διάκρισις ὑστέρα πολλῷ τῆς εἰς τὴν Χερσόνησον εἰσβολῆς, τετελεσμένη δέ ποτε θείαν ἠβουλήθησαν ἀπονέμειν οἱ βράχμανοι γένεσιν, ὥσπερ ἑαυτοῖς οἱ τῶν ἀρχαίων ἡγεμόνες, οἱ μὲν ἐξ αὐτοῦ Διός, οἱ δ' ἐξ Ἀπόλλωνος, οἱ δ' ἐξ Ἄρεως, οἱ δ' ἐξ ἄλλου τινός, οἷον ὁ δῆμος ὁ Ῥωμαίων ὅλος[3] ἐκ τῆς (Αἰνείου τοῦ γενάρχου μητρὸς) Ἀφροδίτης, ἕλκειν ἀξιοῦντες τὸ γένος· διὸ καὶ *διογενεῖς* ὡς τὰ πολλὰ παρ' Ὁμήρῳ καλοῦνται διὰ τὸ τὸν Δία πατέρα πάντων εἶναι τῶν ἄλλων.

Ἔστι δ' ὁ περὶ τούτου μῦθος ἐν τῷ Rig-veda, καθ' ὃν ἐκ μελῶν ἐγένετο τοῦ Πουρούσου (Purushah[4]) τῶν φυλῶν ἑκάστη[5], τοῦ στό-

1. Καὶ παρὰ τοῖς βουδδισταῖς αὐτοῖς ἐπικρατεῖ τὸ τῆς φυλῆς ἐν Ἰνδικῇ τε καὶ Βιρμανίᾳ καὶ Σιάμῃ.

2. Οὕτω τῶν ἀνωτέρω βραχμανικῶν αἱ μὲν α, β, γ, F καὶ ζ ἐξ ἧς ἀσκοῦσιν ἐργασίας (ἡ μὲν α διὰ τὸ καὶ τοὺς τέσσαρας ἀναγινώσκειν Οὐέδας, αἱ δὲ β καὶ γ διὰ τὸ τρεῖς καὶ δύο, ἡ δὲ F ἐκ τῶν ἀστικῶν (ἄστυ Σ. nagaram), ὧν τελοῦσιν, ὑπηρεσιῶν), αἱ δὲ η, θ καὶ ι ἐκ τῆς οἰκήσεως κξ.

3. Ὅθεν Αἰνειάδαι.

4. Λέγεται δὲ καὶ *Nârâyanah* (ὅπερ ἐστὶν ἐπων. τοῦ θεοῦ Βισνυος)· παρίστησι δὲ τὸ θεῖον ἐνσεσαρκωμένον ἅτε πρῶτος γενόμενος ἄρρην.

5. Mukhâbhyâm brâhmanâh bahubhyam kshatriyâh udarâbhyâm vaisyâh padâbhyâm kshudrâh jayante. Οὕτω καὶ ἐν τῷ εἰς ἐκεῖνον ὕμνῳ (ἐν τῷ 10ῳ τοῦ Rig-veda μανδάλῳ=κύκλῳ). Ὁ βράχμανος ἐν Mân. (1, 98) καλεῖται: murtir dharmasya çaçvati τ. ἔ. σῶμα

SISMANOGLIO MEGARO



ματος μὲν ἡ τῶν ἱερέων, τῶν δὲ βραχιόνων ἡ τῶν ξατρίων, τῆς κοιλίας ἡ τῶν Οὐαισίων καὶ τῶν ποδῶν[1] ἡ τῶν Σούδρων, τῆς ἑκάστου τῶν μελῶν ἀξίας τὴν τῆς φυλῆς συμβολικώτερον δηλούσης. Ηὐξήθη δ' οὕτως ἐντεῦθεν ἡ τῶν ἱερέων ἀνὰ χρόνον ὑπεροχὴ καὶ δύναμις, ὥστε καὶ ἀμαθῆ τιν' ὄντα καὶ ὁτιοῦν ἐργαζόμενον[2] θεῖόν τε νομίζεσθαι καὶ σεβασμοῦ καὶ παρ' ἡγεμόσιν αὐτοῖς ἀξιοῦσθαι.

Ἡ δὲ τετάρτη φυλή, ἡ τῶν Σούδρων, ἐξ ἀρχῆς ἁπλῶς ἀντέκειτο τῇ τρισσῇ τῶν Ἀρίων (*arya varna*) ἢ Δουΐζων ὡς *dasya* (πολεμία) καὶ *krishna* (μέλαινα, διὰ τὸ χρῶμα) *varna*[3]. Ὃ δὲ μάλιστα διεχώριζε ταύτας ἦν ἡ *μύησις*, ἧς ἐμοίρουν οἱ Σοῦδροι· διὸ μόναις ὑπῆρχε ταῖς ἄλλαις ὁ ἐξ οὑτινοσοῦν ἁμαρτήματος *patakas* ἤτοι πτῶσις τ. ἔ. ἀποβολὴ τῆς εὐγενείας. Οἱ δὲ Σοῦδροι τῶν ἐκείναις ἰδίων ἀγαθῶν οὐδενὸς μετέχοντες τελετῶν ἐνίων ἐκοινώνουν ὑποδεεστέρων.

Ἔστι τοίνυν, εἴ τις ὁρίζεσθαι βούλοιτο, παρ' Ἰνδοῖς ἡ φυλή: πολιτῶν κοινωνία κεχωρισμένη τῶν ἄλλων, ἴδιον ἐκ παραδόσεως βιοῦσα βίον ὑπὸ βουλῇ καὶ ἀρχηγέτῃ, θεσμοῖς περὶ γάμου χρωμένη καὶ περὶ σιτίων ἰδίοις, ἑορτὰς ἰδίας τελοῦσα καὶ τὴν αὐτὴν ἀσκοῦσα διαμπερὲς ἐργασίαν, ἐπιτίμιον ἐπιψηφίζουσα τοῖς ἁμαρτάνουσι (patitâh) ἀφορισμὸν[4] ἀΐδιον ἢ πρόσωρον.

δικαιοσύνης (ἢ καθήκοντος) ἀΐδιον· ἀλλαχοῦ δὲ πάλιν (Mân. 1, 99) brâhmano jayamâno hi pritivyam adhijayate içvarah sarvabhûtânâm τ. ἔ. ὁ βράχμανος ἐπὶ γῆς γεννώμενος γεννᾶται (σύναμα) κύριος τῶν ζώων πάντων.

1. Ἴσως ἐντεῦθεν οἱ παρ' Ἡροδότῳ (3, 99) Παδαῖοι (pad=πούς) οἱ αὐτοὶ τοῖς Σούδροις εἰσὶν ἐκληπτέοι, οἳ καὶ pajâh (=ποδογενεῖς) καλοῦνται.

2. Ἐξῆν τῷ βραχμάνῳ πλὴν τῶν ἰδίων τῆς φυλῆς: ἱερωσύνης, ἰατρικῆς, ἐπιστήμης καθόλου, καὶ ἄλλας (μὴ μέν τοι πάνυ χαμηλὰς) ἀσκεῖν ἐργασίας.

3. Ὅθεν ἐτύγχανε τοιαύτης, ὡς ἔοικε, παρ' ἐκείνῃ περιφρονήσεως ὁ Σοῦδρος, ὥστε μὴ πλείονος αὐτοῦ τιμᾶσθαι τὴν ζωὴν ἢ τὴν οὐδήποτε ζώου.

4. Ὁ μὲν ἀφωρισμένος καλεῖται *vratyah*, ὁ δ' ἐπανελθὼν διὰ μετανοίας *vratah*.

Εἶναι δὲ δοκεῖ σὺν τῷ γένει καὶ τῇ ἐπιγαμίᾳ διὸ καὶ τῇ πρὸς ἑτερογενὲς ἀμιξίᾳ κυριώτατον ἐν τῇ φυλῇ :

α) ἡ τροφή, τ. ἔ. τὸ μήτε προςίεσθαί τι *πεποιημένον ὑπὸ χειρόνων* ἢ που *τυχὸν ἀφῆς τῶν τοιούτων* μήτε ποτὲ συνδειπνεῖν ἐκείνοις, καίτοι ποικίλαις ἐστὶν ὁ θεσμὸς ὑποκείμενος ἐξαιρέσεσιν ἔκ τε τοῦ (μεταλλίνου) σκεύους, ἐν ᾧ, καὶ τοῦ πυρός, ἐφ᾽ οὗ παρεσκευασμένα τυγχάνει τὰ σιτία.

β) Τὸ ὕδωρ, παρὰ μὲν ἐνίων ὅσιον ὂν ὕδατος μεταλαμβάνειν, παρὰ δ' ἄλλων οὔ. Τὸ δ᾽ αἴτιον ἡ δόξα τοῦ καθαρὸν ἢ μὴ τὸ ποτὸν ὑπάρχειν. Ἔχει δὲ ῥοπὴν οὐχὶ τὴν ἐλαχίστην, ὡς ἔοικε, καὶ

γ) ἡ καθόλου περὶ καθαρότητος ἐν τῇ φυλῇ δόξα· χωροῦσι μέντοι μέχρις ἔστιν ὅτε τοῦ γελοίου τὰ καθ' ἕκαστα.

Κυρία δ' ἐστὶν ἡ φυλὴ μάλιστα καὶ κατ' ἐξοχὴν ἐν τοῖς περὶ γάμου καὶ διαζυγίου καὶ υἱοθεσίας. Ἐστὶ δὲ καθόλου θεωροῦσιν οἱονεί τις οἶκος μέγας ὥσπερ ἡ πολιτεία παρὰ Πλάτωνι. Οὐ μὴν ἐστὶν ἀκίνητος, ἀλλά τινας ὑφίσταται τῶν μορίων ἀλλαγάς τε καὶ μεταβολάς[1] (ἀεὶ σωζομένου καθάπερ ἐν τοῖς ὀργανικοῖς τοῦ σχήματος), εἰς ὃ συμβάλλεσθαι δοκοῦσιν ἤθη τε καὶ δόξαι καιναὶ καὶ τόπος.

Ἐν μὲν οὖν τοῖς ἄλλοις ἔθνεσιν, οὐδ᾽ Αἰγυπτίων[2] ἐξαιρουμένων,

1. Πρβλ. τὸ παρ' Ἀρρ. (Ἰνδ. XII, 9) τοῦ Μεγασθένους : σοφιστὴν ἐκ παντὸς γενέσθαι γένεος.

2. Καίτοι τοὺς Αἰγυπτίων μαχίμους (Ἑρμοτύβιας καὶ Καλασίριας) οἱονεί τινα φυλὴν (οἵαν ἀπετέλουν οἱ ξάτριοι παρ' Ἰνδοῖς) παρίστησιν Ἡρόδοτος ἐν οἷς φησιν ὡς «*οὐδεμίαν ἔξεστι τούτοισιν ἐπασκῆσαι τέχνην, ἀλλὰ τὰ ἐς πόλεμον ἐπασκέουσι μοῦνα παῖς παρὰ πατρὸς ἐκδεκόμενος*», ἐδήλωσαν οὐχ ἧσσον ἐπιγραφαὶ μνημείων ἔνθεν ὡς ἄνδρες ἀλλήλων οἰκεῖοι καὶ συγγενεῖς φυλῆς ἦσαν οὐχὶ τῆς αὐτῆς καὶ ἔνθεν ὡς ἱερεῖ τ' ἐξῆν εἶναι τῷ αὐτῷ καὶ μαχίμῳ. Ἦσαν δὲ παρ' Αἰγυπτίοις κατὰ μὲν Ἡρόδοτον ἑπτά, κατὰ δὲ Πλάτωνα (Τιμ. 24) καὶ Διόδωρον (I. 73) πέντε γένη (φυλαὶ) εἰς δύο κύρια διακρινόμενα, ὧν τὸ μὲν τοὺς ἱερεῖς περιελάμβανε καὶ τοὺς μαχίμους (τὸ ἄργον), τὸ δὲ τοὺς ἄλλους (τὸ ἀρχόμενον καὶ φόρον

SISMANOGLIO MEGARO



οὐ πάνυ τι πόρρω δῆλον ἐστὶ τὸ τῶν φυλῶν ἀφικόμενον. Παρὰ μέντοι τοῖς Ἰνδοῖς ἐς τόδε σωζόμεναί τε καὶ πληθυνόμεναι τό γε νῦν οὐκ ἐλάττους εἶναι λέγονται δισχιλίων· Ἡροδότου δὲ καὶ Κτησίου μνήμην αὐτῶν οὐδεμίαν ποιησαμένων, Μεγασθένης, ὡς ἔοικε, πρῶτος ἐγνώρισε τοῖς πάλαι τὰ περὶ τούτων (περὶ τὰ 300 π. Χ.) πρεσβευτὴς ἀποσταλεὶς ὑπὸ Σελεύκου τοῦ τῶν Σελευκιδῶν ἀρχηγέτου, πρὸς Σανδρόκοττον ἢ Σανδρόκυττον (ὅπερ ὀρθότερον[1], Ἰνδ. Tschandraguptas) μοίρας ὄντα τῆς Ἰνδικῆς ἡγεμόνα. *Μέρη* δὴ καλῶν ἐκεῖνος ἀριθμεῖ φυλὰς ἑπτὰ παρ' Ἰνδοῖς[2]: α) φιλοσόφους, β) γεωργούς, γ) θηρευτὰς καὶ ποιμένας, δ) τεχνίτας καὶ καπήλους καὶ οἷς ἀπὸ τοῦ σώματος ἡ ἐργασία, ε) πολεμιστάς, ζ) ἐφόρους, η) συμβούλους βασιλικοὺς[3] καὶ συνέδρους.

Ποιμένες μὲν οὖν ἐμφανῶς καὶ οἱ τὴν ἐργασίαν ἀπὸ τοῦ σώματος ἔχοντες εἶεν ἂν οἱ σοῦδροι μόνοι. Τῶν δ᾽ ἄλλων, εἴ τις τὰ παρ' ἐκείνῳ *μέρη* ταῖς παρ' Ἰνδοῖς αὐτοῖς παραβάλλοι *φυλαῖς*, τοιάνδε τιν' εἰκὸς εἶναι τὴν ἀναφοράν :

α) ἱερεῖς, β) βράχμανοι καὶ ξάτριοι καὶ Οὐαίσιοι, οἱ μὲν ὡς κύριοι γῆς, ὡς μισθωταὶ δ' οἱ τρίτοι, γ) ξάτριοι, δ) οὐαίσιοι, ε) ξάτριοι, ζ) ξάτριοί τε καὶ οὐαίσιοι, η) ἱερεῖς (τὸ πρῶτον, εἶτα) καὶ ξάτριοι καὶ οὐαίσιοι.

Καὶ τῆς αὐτῆς ὅμως, ὥσπερ ἀνωτέρω, μετέχουσιν ἐργασίας καὶ τιμῆς ἐπιγαμίας οὐδέν τι μᾶλλον ἐξῆν ἀλλήλοις ποιεῖσθαι τοῖς ἑτεροφύλοις.

τελοῦν) νομεῖς, γεωργοὺς καὶ δημιουργοὺς κατὰ Πλ. καὶ Δ., συβώτας, βουκόλους, καπήλους, ἑρμηνεῖς καὶ κυβερνήτας καθ' Ἡρ.

1. Κατ' Ἀθήν. I, 32.

2. Παρὰ Στραβ. XV, c. 1.

3. Mantrin (iν. = σύμβουλος)· ὅθεν οἱ παρὰ Σίναις *mandarίnοι*.

# ΠΑΡΟΡΑΜΑΤΩΝ ΠΙΝΑΞ

| *Σελ.* | στ. | *ἀντὶ* | *γράφε* |
|---|---|---|---|
| ϛ' | 9 | οὐτοῦ | αὐτοῦ |
| ζ' | 9 | ἐοικε | ἔοικε |
| ιδ' | 11 | τοὐνανυίον | τοὐναντίον |
| 1 | 18 | βίον | βίου. |
| 2 | 10 | ῳκεῖτο | ᾠκεῖτο |
| 3 | 7 | ὑπεδέξατο | ὑπεδέξατο |
| 4 | 21 | μοι, | μοι |
| 13 | 12 | ἐρισθενεῖς | ἐρισθενεῖς |
| 15 | 4 | ἐπιστάσης; | ἐπιστάσης |
| 15 | 7 | αὐτή | αὐτῇ |
| 15 | 24 | ἐπινοίᾳ· | ἐπινοίᾳ· — |
| 18 | 9 | ἡ | ᾗ |
| 26 | 12 | Κούνδινα | Κύνδινα |
| 27 | 10 | ἀριστεῖον· | ἀριστεῖον·» |
| 27 | 15 | οὔσιαν | οὐσίαν |
| 30 | 16 | παρήνεις | παρῄνεις |
| 32 | 19 | εὗρε | εὗρε |
| 37 | 8 | ἀρᾶς | ἀρᾶς |
| 39 | 14 | ὠρυγαῖς | ὠρυγαῖς |
| 50 | 10 | συμπαθείας | συμπαθείας; |
| 72 | 24 | ὦτα | ὦτά |
| 104 | 9 | Nishadah | Nishadhah |
| » | » | Nishadâh | Nishadhâh |
| 112 | 32 | πτωχῷ | πτωχῷ |
| 118 | 10 | Σινδικῇ | Σινδικῇ |
| 121 | 1 | ἢ | ᾗ |
| 128 | 5 | ῃ | ᾗ |

ΤΥΠΟΙΣ
ΑΔΕΛΦΩΝ ΓΕΡΑΡΔΩΝ
ΕΝ ΚΩΝΣΤΑΤΙΝΟΥΠΟΛΕΙ
(91)

ΜΕΓΑΛΟΥ
1947

*Τιμᾶται τοῖς ἐν τῇ πρωτευούσῃ γρ. 12*
*τοῖς ἔξω φρ. χρυσῶν 3.*